❧ In ætatibus aũt talia cõtingunt, paruis &

νεογνοῖσι παιδίοισιν, ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυπνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναί, ὤτων ὑγρότητες.

ΑΦΟΡΙΣ. κε´

❀ Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν οὔλων ὀδαξυσμοί, πυρετοί, σπασμοί, διάρροιαι, καὶ μάλιστα ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι.

ΑΦΟΡΙΣ. κϛ´

❀ Πρεσβιτέροισι δὲ γενομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες, στρογγύλαι, ἀσκαρίδες,

*nuper natis puerulis, oris ulcera, quæ aphthæ uocantur, uomitus, tusses, uigiliæ, pauores, umbilici inflammatiões, aurium humiditates.*

## Aphoris. 25.

❀ *In progressu uerò cũ iam dentire incipiũt, gingiuarũ prurigines, febres, cõuulsiones, alui profluuia, et maximè cũ caninos ædunt dentes, & his præsertim pueris, qui crassißimi sunt, & aluos duras habent.*

## Aphoris. 26.

❀ *Cum uerò iam magis adoleuerint, tõsillæ et uertebræ quæ in occipitio ad interiora luxatiões, crebri anhelitus, quos Græci asthmata uocant, calculi, lũbrici ro-*

©BIU Santé



ἀσκαρίδες, ἀκροχορδόνες, σατυριασμοί, στραγγουρίαι, χοιράδες. καὶ τ' ἄλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

ΑΦΟΡΙΣ. κζʹ

Τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι τουτέων τε τὰ πολλὰ καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες.

ΑΦΟΡΙΣ. κηʹ

Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθη κρίνεται, τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν, ὅσα δ' ἂν διαμεί-

tundi, aſcarides, uerrucæ, quas Græci acrochordonas uocãt, ſatyriæ, ſtrumæ, & alia tubercula, ſed præcipuè ante dicta.

Aphoriſ. 27.

Grandioribus autem, & iam accedentibus ad pubertatem plurima ex his, & febres diuturnæ magis, & ex naribus profluuia ſanguinis.

Aphoriſ. 28.

Plurimæ aũt paſſiones puerulis iudicantur, nõnullæ quidem in quadraginta diebus, nõ nullæ uerò in annis ſeptem, quedã uerò iam ad pubem accedẽtibus: quæ uerò permãſerint,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 59 sur 669

©BIU Santé



νηπάθια ἐοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν ἢ τοῖσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας χρονίζειν εἴωθεν. ΑΦΟΡ. κθ´.

⁂ Τοῖσι δὲ νεανίσκοισιν αἵματος πτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι, καὶ τἆλλα νουσήματα, μάλιστα δὲ τὰ προειρημένα.

ΑΦΟΡΙΣ. λ´.

⁂ Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

ΑΦΟΡ.

nec in pubertate finie rint, puerulis, aut fœminis cum menstrua erumpunt, consenescere consueuerunt.

## Aphoris. 29.

⁂ Adolescẽtibus autẽ sanguinis sputiones, tabes, febres acutæ, morbus comitialis, & alij, sed præcipuè antedicti.

## Aphoris. 30.

⁂ Vltra hac ætatem asthma, id est creber anhelitus, morbi laterales, pulmonis inflammationes, lethargi, phrenetides, ardores, diuturna profluuia, cholerae, difficultates intestinorum, hæmorrhoides.

Aphoris.

©BIU Santé



## ΑΦΟΡΙΣ. λα'

* Τοῖσι δὲ πρεσβύτῃσι, δύσπνοιαι, κατάῤῥοι, βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης, καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, καὶ βαρυηκοΐαι.

ΙΠΠΟ-

## Aphoriſ. 31.

* *Senibus ſpirandi difficultates, diſtillationes cũ tuſſe, urinæ ſtillicidia, urinæ difficultates, articulorum dolores, renũ paßiones, uertigines, apoplexiæ, mali habitus, pruritus totius corporis, uigiliæ, alui oculorum & narium humiditates, uiſus obtuſus, glaucedines, auditus graues.*

HIPPO-

©BIU Santé



# ΙΠΠΟΚΡΑΤΟΥΣ Κώου Ἀφορισμῶν βιβλίον τέταρτον.

## ΑΦΟΡΙΣ. α'

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ ταύτας, τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

## ΑΦΟΡΙΣ. β'

* Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα, τὰ δ' ἐναντίως ἰόντα παύειν.

ΑΦΟΡ.

# HIPPOCRATIS Coi Aphoriſmorum Liber IIII.

## Aphoriſ. 1.

VTERO gerentes ſunt medicãdæ, ſi materia turget quarto menſe, & uſq; ad ſeptimum, ſed has minus. Iuniora autem & ſeniora uereri oportet.

## Aphoriſ. 2.

* In medicationib. talia educere è corpore, qualia & ſpõte prodeuntia utilia, quæ uerò contrario modo prodeunt, cohibere oportet.

Aphoriſ.

©BIU Santé



ΑΦΟΡΙΣ. γ'

* Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι, καθαίρωνται. ξυμφέρει τε καὶ εὐφόρως φέρουσι, τὰ δ' ἐναντία δυσχερῶς.

ΑΦΟΡΙΣ. δ'

* Φαρμακεύειν θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ τὰς κάτω.

ΑΦΟΡ. ε'

* Ὑπὸ κύνα, καὶ πρὸ κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι.

ΑΦΟΡΙΣ. ς'

* Τοὺς ἰσχνοὺς καὶ εὐημέας ἄνω φαρμακεύειν ὑποστελλομένους χειμῶνα.

ΑΦΟΡΙΣ. ζ'

* Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους κάτω,

Aphoris. 3.

* Si qualia oportet purgari, purgētur, confert, & leuiter ferunt. Cōtraria uerò grauiter.

Aphoris. 4.

* Medicari æstate superiores magis, hyeme uerò inferiores.

Aphoris. 5.

* Sub cane, & ante canē difficiles sunt medicationes.

Aphoris. 6.

* Graciles & facilē uomētes purgare superius, cauētes hyemem.

Aphoris. 7.

* Vomētes uerò difficulter, & mediocriter bene

©BIU Santé


κάτω, ὑποστελλομένους θέρος.

ΑΦΟΡΙΣ. η'

✠ Τοὺς φθινώδεας ὑποστελλομένους τὰς ἄνω.

ΑΦΟΡΙΣ. θ'

✠ Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς.

ΑΦΟΡ. ι'

✠ Φαρμακεύειν ἐν τοῖσι λίην ὀξέσι, ἢν ὀργᾷ, αὐθημερόν, χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν.

ΑΦΟΡΙΣ. ια'

✠ Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον μήτε ὑπὸ φαρμακείης μήτ' ἄλλως, εἰς ὕδρωπα ξηρὸν

*bene carnosos, per inferiora cauentes æstatem.*

Aphoris. 8.

✠ *Tabidos uerò, cauẽtes ad superiores purgationes.*

Aphoris. 9.

✠ *Melãcholicos plenius inferiores, eadem ratione contraria apponentes.*

Aphoris. 10.

✠ *Medicari in ualde acutis: si materia turget, cadẽ die. Tardare enim in talib. malũ est.*

Aphoris. 11.

✠ *Quibus tormina, & circa umbilicum labores, & lumborum dolor, qui neque à medicamento, neque aliter soluitur, in aquã intercutẽ siccam*

©BIU Santé


παξηρὸν ἐγγίνεται.

ΑΦΟΡΙΣ. ιβ′

⁂ Ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω κακόν.

ΑΦΟΡΙΣ. ιγ′

⁂ Πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηιδίως ἄνω καθαιρομένοισι πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα πλείονι τροφῇ καὶ ἀναπαύσει.

ΑΦΟΡΙΣ. ιδ′

⁂ Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μετὰ τὰς κινησίας τῶν σωμάτων μᾶλλον ἄγειν, πρὸς τοὺς ὕπνους καὶ μὴ κινησίας, ἦσσον, δηλοῖ δὲ καὶ ἡ ναυτιλίη, ὅτι κίνησις τὰ σώματα ταράσσει.

ficcam firmatur.

## Aphoris. 12.

⁂ Quorum alui intestinorum leuitate laborant, hyberno tempore supra purgari, malum.

## Aphoris. 13.

⁂ Ad eleboros qui nõ facilè suprà purgantur, eorum corpora ante potionem pluri cibo, atque quiete humectanda sunt.

## Aphoris. 14.

⁂ Cum biberit quis Eleborum, ad motiones quidem corporum ducere magis, ad somnos uerò, atq; quietem minus. Indicat autem nauigatio turbari motione corpus.

Aphoris.

©BIU Santé


ΑΦΟΡΙΣ. ιεʹ

Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλέβορον, κίνει τὸ σῶμα· ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει καὶ μὴ κίνει. ΑΦΟΡ. ιϛʹ

Ἐλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· σπασμὸν γὰρ ἐμποιέει. ΑΦΟΡ. ιζʹ

Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

ΑΦΟΡΙΣ. ιηʹ

Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα ἄνω φαρμακείας δεῖσθαι σημαίνει. ὁκόσα δὲ κάτω, κάτω.

ΑΦΟΡ.

Aphoris. 15.

Cum uolueris magis ducere Eleborũ, moue corpus: cũ uerò sistere, somnũ facito, et non moueto. Aphor. 16.

Carnes sanas habentibus Eleborus periculosus. Facit enim conuulsionẽ. Aphor. 17.

Si quis febrem nõ habẽs, abstineat à cibo, & cordis morsum, seu uertiginem patitur, & oris amaritudinem sentit, purgatione indigere p superiora significat.

Aphoris. 18.

Supra præcordia dolores, purgatiõe indigere p supiora significãt. Quicũq; uerò inferiora molestãt, per inferiora.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. ιθ'

* Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται, πρὶν ἢ διψήσωσιν.

Aphoris. 19.

* Qui in medicamẽtis purgati, non sitiunt, non quiescunt priusquã sitiant.

ΑΦΟΡΙΣ. κ'

* Ἀπυρέτοισιν ἐοῦσιν ἢν γένηται στρόφος, καὶ γουνάτων βάρος καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακίης δεῖσθαι σημαίνει.

Aphoris. 20.

* Non febricitantibus si tormina acciderint, & genuum grauitas, & lumborum dolor, purgari inferius oportere significatur.

ΑΦΟΡΙΣ. κα'

* Ὑποχωρήματα μέλανα, οἱονεὶ αἷμα μέλαν ἀπ' αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα. καὶ ὁκόσοισιν ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον, σὺν φαρμάκῳ δὲ ἄμεινον.

Aphoris. 21.

* Deiectiões nigræ, qualis est sanguis niger, sponte ueniẽtes, siue cum febre, siue sine febre, pessimæ: & quanto colores magis praui fuerint plures, peius: cũ medicamento uerò melius.

©BIU Santé



καὶ ὁκόσα ἂν πλείω χρώματα, οὐ πονηρόν.

ΑΦΟΡΙΣ. κβ΄

Νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον. ΑΦΟΡΙΣ. κγ΄

Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων ἢ ἐκ τρωμάτων, ἢ ἄλλως λελεπτυσμένοισι χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ τῇ ὑστεραίῃ ἀποθνήσκουσι. ΑΦΟΡ. κδ΄

Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται θανάσιμον.

ΑΦΟΡΙΣ. κε΄

Αἷμα ἄνω μετὰ ὁκοίου ἂν ᾖ, κακόν. κά-

τω

lius, & quanto colores plures non praui.

Aphoris. 22.

Morbis quibuslibet incipiētibus si atra bilis, uel supra, uel infra exierit, letale.

Aphoris. 23.

Quibuscunq; ex morbis acutis, aut diuturnis, uel ex uulnerib. siue quouis alio modo extenuatis, nigra bilis, siue uti sanguis niger de subter exierit, postridie moriuntur.

Aphoris. 24.

Difficultas intestinorū, si ab atra bile inceperit letalis est.

Aphoris. 25.

Sāguis quidē supra, qualiscūque fuerit malus:

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 68 sur 669

©BIU Santé



τῷ δὲ, ἀγαθόν, καὶ τὰ μέλανα ὑποχωρέοντα, κακόν.

ΑΦΟΡΙΣ. κϛʹ

Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖον σάρκες ὑποχωρήσωσι, θανάσιμον.

ΑΦΟΡΙΣ. κζ.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

ΑΦΟΡΙΣ. κηʹ

Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα κωφώσιος γενομένης παύεται, καὶ ὁκόσοισι κωφώσις χολωδέων γενομένων, παύεται.

ΑΦΟΡ.

*lus: infra aũt, bonus est.*

## Aphoris. 26.

*A difficultate intestinorum habito, si uelut carunculæ exeant, letale est.*

## Aphoris. 27.

*Quibus in febrib. sanguinis fluxerit multitudo, quacunq; ex parte cum reficiuntur, alui his humectantur.*

## Aphoris. 28.

*Quibus biliosæ deiectiones, superueniente surditate cessant, & quibus surditas, superuenientibus biliosis deiectionibus cessat.*

©BIU Santé



ΑΦΟΡΙΣ. κθ´

※ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

Aphoriſ. 29.

※ Quibus in febribus ſexto die rigores fiunt, difficilè iudiciũ ſequitur.

ΑΦΟΡΙΣ. λ´

Ὁκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

Aphoriſ. 30.

※ Quibuſcunque deceſsiones fiunt quacunque hora febris dimiſerit, ſi eadem cras occupauerit, iudicium habet difficilè.

ΑΦΟΡΙΣ. λα´

※ Τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ περὶ τὰς γνάθους μάλιστα ἀποστάσιες γίνονται.

Aphoriſ. 31.

※ Laſsitudinem habẽtibus, in articulos & circa maxillas potiſsimum abſceſſus fiunt.

ΑΦΟΡΙΣ. λβ´

※ Ὁκόσοισιν ἀνισταμένοισιν ἐκ τῶν νόσων τι πονέσει, ἐνταῦθα ἀποστάσιες γίνονται.

Aphoriſ. 32.

※ Quibuſcunq; reſurgentibus ex morbis, ſi quid laborauerint, hic fiunt abſceſſus.

ΑΦΟΡ. Aphoriſ.

©BIU Santé



ΑΦΟΡΙΣ. λγʹ

✱ Ἀτὰρ ἢν καὶ προπε-
πονηκός τι ᾖ πρὸ τοῦ νο-
σεῖν, ἐνταῦθα στηρίζει ἡ
νοῦσος.

Aphoris. 33.

✱ Sed & si ante mor-
bum aliqua parte dolue-
rit, hic morb. firmatur.

ΑΦΟΡΙΣ. λδʹ

✱ Ἢν ὑπὸ πυρετοῦ
ἐχομένῳ οἰδήματος
μὴ ἐόντος ἐν τῇ φάρυγ-
γι πνὶξ ἐξαίφνης ἐπι-
στῇ, θανάσιμον.

Aphoris. 34.

✱ Si à febre habito
tumore non existẽte in
faucibus, strãgulatio re-
pente superuenerit, le-
tale.

ΑΦΟΡΙΣ. λεʹ

✱ Ἢν ὑπὸ πυρετοῦ
ἐχομένῳ ὁ τράχηλος
ἐξαίφνης ἐπιστραφῇ, καὶ
μόλις καταπίνειν δύ-
νηται, οἰδήματος μὴ
ἐόντος ἐν τῷ τραχή-
λῳ, θανάσιμον.

Aphoris. 35.

✱ Si à febre habito
collũ peruertitur, et uix
potest deuorare, sine ul-
lo tumore letale est.

ΑΦΟΡΙΣ. λϛʹ

✱ Ἱδρῶτες πυρεταίνου-
σιν ἢν ἄρξωνται, ἀγα-
θοὶ τριταῖοι, καὶ πεμ-
πταῖοι

Aphoris. 36

✱ Sudores febrici-
tanti si incœperint, bo-
ni, et tertio die, & quin-
to, &

©BIU Santé



πταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ εἰκοστῇ καὶ ἑβδόμῃ καὶ εἰκοστῇ καὶ τριακοστῇ τετάρτῃ, οὗτοι γὰρ ἱδρῶτες νόσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι πόνον σημαίνουσι, καὶ μῆκος νόσου καὶ ὑποστροπιασμούς.

ΑΦΟΡΙΣ. λζ'

❦ Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον, ξὺν πρηϋτέρῳ δὲ, μῆκος νόσου σημαίνουσιν.

ΑΦΟΡΙΣ. λη'

❦ Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νόσον.

ΑΦΟΡ.

*to, & septimo, et nono, & undecimo, & quartodecimo, & septimodecimo, & uigesimo, et uigesimoseptimo, & trigesimoquarto: hi enim sudores iudicant morbos. Qui uerò non ita fiunt, laborē significāt, et morbi longitudinem & recidiuam.*

## Aphoris. 37.

❦ *Frigidi sudores, cū acuta qi ī lē febre mortem: cum mitiori autē, longitudinem morbi significant.*

## Aphoris. 38.

❦ *Qua parte corporis sudor est, ibi significat morbum.*

Aphor.

©BIU Santé


ΑΦΟΡΙΣ. λθ'

* Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν ἐνταῦθα ἡ νοῦσος.

Aphorism. 39.

* *Et qua parte corporis calor, aut frigus, ibi morbus.*

ΑΦΟΡΙΣ. μ'

* Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

Aphorism. 40.

* *Et ubi in toto corpore mutationes, & si corpus refrigeretur, uel rursus calefiat, uel color alter ex altero fiat, longitudinem morbi significat.*

ΑΦΟΡΙΣ. μα'

* Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης ἑτέρης γινόμενος, τὸ σῶμα σημαίνει, ὅτι πλείονι τροφῇ χρέεται, ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίνηται, σημαίνει ὅτι κενώσιος δέεται.

Aphorism. 41.

* *Sudor multus ex somno factus absq; causa manifesta, corpus uti pluri cibo significat. Si uerò cibum nõ accipienti hoc accidat, scire oportet quod euacuatione indiget.*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 73 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. μβ'

❧ Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς ἀεὶ ῥέων, ὁ ψυχρὸς μείζων, ὁ δὲ θερμὸς ἐλάσσων, νοῦσον σημαίνει.

Aphoris. 42.

❧ Sudor multus calidus, uel frigidus superfluēs, frigidus magis, calidus minus, significat morbum.

ΑΦΟΡΙΣ. μγ'

❧ Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης, ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι, ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Aphoris. 43.

❧ Febres quæcunq; non intermittentes, tertia die fortiores fiunt, magis periculosæ. Quocunq; autē modo intermiserint, periculū abesse significatur.

ΑΦΟΡ. μδ'

❧ Ὁκόσοισι πυρετοὶ μακροὶ, τούτοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

Aphoris. 44.

❧ Quibus febres longæ, his tubercula, uel labores in articulis fiunt.

ΑΦΟΡΙΣ. με'

❧ Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐκ πυρετῶν μακρῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Aphoris. 45.

❧ Quibus tubercula, uel in articulis labores fiunt: hi pluribus utuntur cibis.

ΑΦΟΡ.

©BIU Santé



### ΑΦΟΡΙΣ. μϛ΄

❦ Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ διαλείποντι ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

### ΑΦΟΡΙΣ. μζ΄

❦ Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ. αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες πᾶσαι, κακαὶ, ἀποχωρεῦσαι δὲ καλῶς. ἀγαθαὶ, καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα, ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

### ΑΦΟΡΙΣ. μη΄

❦ Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ

### Aphoriſ. 46.

❦ Si rigor incidat febre non deficiēte, ægro iam debili, letale eſt.

### Aphoriſ. 47.

❦ Excreationes in febribus non intermittentibus, liuidæ, cruētæ, fœtidæ, & bilioſæ, omnes malæ: & ſi bene excūt, ſiue per alui excreationem, ſiue per urinas, bonæ: ſi uerò non aliquid eorum quæ iuuant, per hæc loca excernitur, malum.

### Aphoriſ. 48.

❦ In febribus non intermittentibus, ſi partes exteriores frigidæ, interio-

©BIU Santé


χρᾶται, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον.

ΑΦΟΡΙΣ. μθʹ

✻ Ἢν μὴ διαλείποντι πυρετῷ ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς, διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενοῦς ἐόντος τοῦ σώματος, ὅτι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

ΑΦΟΡΙΣ. νʹ

✻ Ὅκου ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

ΑΦΟΡ. ναʹ

✻ Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νόσου σημαίνει.

interiores urũtur, & sitim habeat, letale est.

## Aphoris. 49.

✻ In febre non intermittente, si labrum, uel oculus, uel nasus, uel supercilium peruertatur, uel non uideat, uel non audiat, iam debili existẽte corpore, quicquid horum euenerit, mors proxima est.

## Aphoris. 50.

✻ Vbi in febre nõ intermittente difficultas spirandi, & deliriũ acciderit, letale.

## Aphoris. 51.

✻ In febrib. abscessus qui ad primas iudicationes non soluunt, longitudinem morbi significant.

ΑΦΟΡ. Aphor.

©BIU Santé



## ΑΦΟΡΙΣ. νβ'

* Ὁκόσοισι τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν οἱ ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον, ὁκόσοι δὲ μὴ κατὰ προαίρεσιν ἀτοπώτερον.

## Aphoriſ. 52.

* Quicunq; in febribus, uel in alijs morbis ſponte illachrymant, nihil abſurdum, qui uerò non ſponte, abſurdius.

## ΑΦΟΡΙΣ. νγ'

* Ὁκόσοισι δὲ περὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνηται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

## Aphoriſ. 53.

* Quibus circa dentes in febribus quidam lentores naſcuntur, his fortes fiunt febres.

## ΑΦΟΡΙΣ. νδ'

* Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσι, οὐ πάνυ τι διψώδεές εἰσιν.

## Aphoriſ. 54.

* Quibus plurimū ſiccæ tuſſes leuiter irritantes in febribus ardentibus fiunt, nō multum ſiti infeſtantur.

## ΑΦΟΡΙΣ. νε'

* Οἱ ἐπὶ βουβῶσι πυ

ρετοὶ

## Aphoriſ. 55.

* Ex inguinū tūorib. fe

bres

©BIU Santé


ρετοὶ πάντες κακοὶ,
πλὴν τῶν ἐφημέρων.

ΑΦΟΡΙΣ. νϛʹ

⁂ Πυρέσσοντι ἱδρὼς
ἐπιγενόμενος μὴ ἐκλεί-
ποντος τοῦ πυρετοῦ
κακὸν, μηκύνει γὰρ ἡ
νοῦσος καὶ ὑγρασίην
πλείω σημαίνει.

ΑΦΟΡΙΣ. νζʹ

⁂ Ὑπὸ σπασμοῦ ἢ τε-
τάνου ἐνοχλουμένῳ πυ-
ρετὸς ἐπιγενόμενος
λύει τὸ νόσημα.

ΑΦΟΡΙΣ. νηʹ

⁂ Ὑπὸ καύσου ἐχομέ-
νῳ ἐπιγενομένου ῥίγε-
ος, λύσις. ΑΦΟΡ. νθʹ

⁂ Τριταῖος ἀκρι-
βὴς κρίνεται ἐν ἑπτὰ
περιόδοισιν τὸ μακρό-
τατον. ΑΦΟΡ. ξʹ.

⁂ Ὁκόσοισιν ἂν ἐν τοῖ-
σι

bres omnes malæ, præ-
ter diarias.

Aphoris. 56.

⁂ Febricitanti sudor
superueniẽs febre non
deficiente, malum. Pro-
rogatur enim morbus,
et multã significat humi-
ditatẽ. Aphor. 57.

⁂ Qui à conuulsio-
ne, aut distentione ner-
uorum tenetur, febre su-
perueniente liberatur.

Aphoris. 58.

⁂ A febre ardẽte ha-
bito, rigore superueni-
ente, solutio.

Aphoris. 59.

⁂ Tertiana exquisita
septenis circuitib. quod
lõgissimũ est, iudicatur.

Aphoris. 60.

⁂ Quibus in febri-
bus

©BIU Santé



σι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νόσημα. ΑΦΟΡΙΣ. ξα'

⁂ Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

ΑΦΟΡΙΣ ξβ'

⁂ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τοῦ ἑπτὰ ἡμερῶν, κακὸν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γενῶνται. ΑΦΟΡ. ξγ'

⁂ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνηται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

ΑΦΟΡΙΣ. ξδ'

⁂ Ὁκόσοισιν ἐν τοῖσι πυρε-

bus aures obſurduerũt, ſanguis ex naribus fluens, aut aluus turbata, ſoluit morbum.

## Aphoriſ. 61.

⁂ Febricitantem niſi diebus imparib. febris reliquerit, ſolet recidiuare.

## Aphoriſ. 62.

⁂ Quibus in febribus morbus regius ante diem ſeptimũ accidit, malum.

## Aphoriſ. 63.

⁂ Quibus in febribus quotidie rigores fiunt, quotidie febre ſoluuntur.

## Aphoriſ. 64.

⁂ Quibus in febribus

©BIU Santé


σι πυρετοῖσι, τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ ἢ τῇ ἑνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγένωνται, ἀγαθόν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ. ἢν δὲ μή, κακὸν οὐκ ἀγαθόν.

ΑΦΟΡ. ξε'

* Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν καὶ καρδιωγμός, κακόν.

ΑΦΟΡΙΣ. ξς'

* Ἐν τοῖσι πυρετοῖσιν ὀξέσιν οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροί, κακόν.

ΑΦΟΡΙΣ. ξζ'

* Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοί, κακόν.

ΑΦΟΡ.

bus morbus regius, septimo, uel nono, uel undecimo, uel quartodecimo supuenerit, bonum: nisi dextrum ilium obduruerit, si uerò nõ, nõ bonum.

Aphoris. 65.

* In febribus circa uentriculum & fortis æstus, et cordis mo[r]sus, uel dolor, malum.

Aphoris. 66.

* In acutis febribus conuulsiones, & circa uiscera dolores fortes, malum.

Aphoris. 67.

* In febribus ex somnis timores, uel cõuulsiones, malum.

Aphoris

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 80 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. ξη´

* Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακὸν· σπασμὸν γὰρ σημαίνει.

ΑΦΟΡΙΣ. ξθ´

* Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα, οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελεῖ, μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

ΑΦΟΡ. ο´

* Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα, οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

ΑΦΟΡΙΣ. οα´

* Ὁκόσοισιν ἑβδομαῖα

Aphoris. 68.

* In febribus spiritus offendens, malum, conuulsionem enim significat.

Aphoris. 69.

* Quib. urinæ crassæ, grumosæ, paucæ, nō sine febre, multitudo ueniens ex his tenuis iuuat: præcipuè uerò tales ueniūt quibus ab initio, uel breui sedimen inest.

Aphoris. 70.

* Quibus urinæ perturbatæ quales sunt iumentorum, his dolor capitis uel adest, uel aderit.

Aphoris. 71.

* Quibus septima iudicatur

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 81 sur 669

©BIU Santé



μαῖα κρίνεται, τουτέοισιν ἐπὶ νεφέλον ἴσχει τὸ οὖρον τῇ τεταρτῇ ἐρυθρὸν, καὶ τ᾽ ἄλλα κατὰ λόγον.

ΑΦΟΡΙΣ. οβ'

✻ Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρὰ, μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἢν ἐπιφαίνεται.

ΑΦΟΡ. ογ'

✻ Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ, ἐν πυρετοῖσι δὲ ταῦτα.

ΑΦΟΡΙΣ. οδ'

✻ Ὁκόσοισιν ἐλπὶς ἐς

ἄρθρα

iudicatur, his nubeculã habet quarta die urina rubeam, & alia ex ratione.

Aphoriſ. 72.

✻ Quibus urinæ albæ, et perſpicuæ, malæ, præſertim ſi in delirantibus appareant.

Aphoriſ. 73.

✻ Quibus ilia ſuſpenſa murmurant, lumborũ dolore ſuperueniente, his alui humectãtur, niſi flatus erumpãt, aut urinæ multitudo proueniat. hæc uerò in febribus.

Aphoriſ. 74.

✻ Quib. ſperatur ab-

ſceſſum

©BIU Santé



ἄρθρα ἀφίστασθαι, ξύνεται της ἀποστάσιος οὖρον πολὺ, κάρτα παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν, ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

scessum futurũ ad articulos, liberat ab abscessu urina multa, crassa & alba facta, qualis in laboriosis febrib. quarto die quibusdam incipit fieri. Si uerò etiam ex naribus fluxerit sanguis, breui admodũ solutio fit.

## ΑΦΟΡΙΣ. οε΄

Ἢν αἷμα ἢ πύον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστεως ἕλκωσιν σημαίνει.

## Aphoris. 75.

Si sanguinem, aut pus mingat, aut renum, aut uesicæ exulcerationem significat.

## ΑΦΟΡΙΣ. ος΄

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ἢ ὥσπερ τρίχες ξυνέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

## Aphoris. 76.

Quibus in urina crassa existente, carunculæ paruæ, aut ueluti capilli unà exeunt, his à renibus excernitur.

©BIU Santé



ΑΦΟΡΙΣ. οζ´

Aphoris. 77.

❋ Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

❋ Quibus in urina crassa, furfurea quædā simul exeunt, his uesica scabie laborat.

ΑΦΟΡΙΣ. οη´

Aphoris. 78.

❋ Ὁκόσοι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

❋ Quicunque sponte sanguinem mingūt, his à renibus uenulam ruptam significatur.

ΑΦΟΡΙΣ. οθ´

Aphoris. 79.

❋ Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

❋ Quibus in urinis arenosa subsistūt, his uesica laborat calculo.

ΑΦΟΡΙΣ. π´

Aphoris. 80.

❋ Ἢν αἷμα οὐρέῃ καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον, καὶ ἐς τὸ περί-

❋ Si sanguinē mingāt, aut grumos, uel stillicidium urinæ habeāt, & dolor in imum incidat uentrem, & pecti-

nem,

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 84 sur 669

©BIU Santé



περιτόναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.

ΑΦΟΡΙΣ. πα´

❊ Ἢν αἷμα καὶ πύον οὐρέῃ καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

ΑΦΟΡΙΣ. πβ´

❊ Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

ΑΦΟΡΙΣ. πγ´

❊ Οὔρησις νύκτωρ πολλὴ γενομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.



nem, & femen, circa ue ficam labor eft.

Aphorif. 81.

❊ Si fanguinem aut pus minxerit, aut fquãmulas, & grauis odor adfit, ueficæ exulcerationem fignificat.

Aphorif. 82.

❊ Quibus in urinaria fiftula tubercula nafcuntur: his fuppuratione facta, & eruptione, folutio.

Aphorif. 83.

❊ Mictio noctu plurima facta, paruã fignificat deiectionem.

©BIU Santé


# ΙΠ-ΠΟΚΡΑΤΟΥΣ Κῴου Ἀφορισμῶν βιβλίον πέμπτον.

ΑΦΟΡΙΣ. α΄

Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον.

ΑΦΟΡΙΣ. β΄

* Ἐπὶ τραύματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον.

ΑΦΟΡΙΣ. γ΄

* Αἵματος πολλοῦ ῥυέντος σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

ΑΦΟΡΙΣ. δ΄

* Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν.

ΑΦΟΡ.

# HIPPOCRATIS Coi Aphorismorum Liber V.

Aphoris. 1.

Conuulsio ex Elleboro, letalis est.

Aphoris. 2.

* Cōuulsio ex uulnere, letalis est.

Aphor. 3.

* Vbi sanguis plurimus fluxerit, singultus, aut conuulsio superueniens, malum.

Aphoris. 4.

* Ex superflua purgatiōe, cōuulsio, aut singultus superueniēs malū.

Aphor.

©BIU Santé



### ΑΦΟΡΙΣ. ε′

Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ᾽ ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται.

### Aphoris. 5.

Si ebrius quispiã repẽte obmutuerit, conuulsus moritur, nisi febre corripiatur, aut ubi ad horã peruenerit qua soluũtur crapulæ, uocẽ recuperet.

### ΑΦΟΡΙΣ. ς′

Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται, ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

### Aphoris. 6.

Quicũq; à distentione corripiuntur, in quatuor diebus pereũt: si uerò has effugerint, sani fiunt.

### ΑΦΟΡΙΣ. ζ′

Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει, ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἔτεων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

### Aphoris. 7.

Quibuscunq; morbi comitiales fiunt, ante pubertatẽ mutationem accipiunt: quibuscunq; autem uigesimoquinto, commoriuntur.

©BIU Santé


ΑΦΟΡΙΣ. η´

* Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τέσσαρσι καὶ δέκα ἡμέρῃσι, τούτοισιν ἐς ἐμπύημα μεθίσταται. ΑΦΟΡ. θ´

* Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτὼ καὶ δεκαετέων μέχρι πέντε καὶ τριήκοντα.

ΑΦΟΡΙΣ. ι´

* Ὁκόσοι συνάγχην διαφεύγουσιν, ἐς τὸν πνεύμονα τούτοισι τρέπεται, καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

ΑΦΟΡΙΣ. ια´

* Τοῖσιν ὑπὸ τῶν φθισίων

Aphoris. 8.

* *Quicunq; morbo laterali laborantes in quatuordecim dieb. nõ repurgantur, hi ad suppurationem uertuntur.*

Aphoris. 9.

* *Tabes fiunt maxime ætatibus, à decimooctauo usque ad trigesimumquintum.*

Aphoris. 10.

* *Quicunq; ab angina liberantur, his ad pulmonem uertitur, & in septem diebus pereunt: si uerò has effugerint, suppurantur.*

Aphoris. 11.

* *Qui tabe molestantur,*

©BIU Santé



φθίσιεμ ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσουσιν βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατώδες.

tur, si sputũ quod extussiunt graue olet, iniectũ carbonibus, et capilli in capite defluunt, letale.

### ΑΦΟΡΙΣ. ιβ'

※ Ὁκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέουσιν, οὗτοι διαῤῥοίης ἐπιγενομένης ἀποθνήσκουσιν.

### Aphoris. 12.

※ Quibuscunq; tabe laborãtibus capilli à capite defluunt, his alui profluuio superueniente moriuntur.

### ΑΦΟΡΙΣ. ιγ'

※ Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ τοῦ πνεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

### Aphoris. 13.

※ Quicunq; spumosum sanguinem expuũt, his e pulmone eductio fit.

### ΑΦΟΡΙΣ. ιδ'

※ Ὑπὸ φθίσιος ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη,

### Aphoris. 14.

※ A tabe habito profluuium alui superueniens,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 89 sur 669

©BIU Santé



γενομένη, θανατῶδες.

ΑΦΟΡΙΣ. ιε´

❦ Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γίνηται, παύονται, ἢν δὲ μὴ, εἰς φθίσιν μεθίστανται.

ΑΦΟΡΙΣ. ιϛ´

❦ Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας, ταῦτα οἷσι θάνατος.

ΑΦΟΡΙΣ. ιζ´

❦ Τὸ δὲ ψυχρὸν σπασμοὺς, τετάνους, μελασμοὺς καὶ ῥίγεα πυρετώδεα.

ΑΦΟΡ.

niens, letale.

Aphoriſ. 15.

❦ Quicunq; ex morbo laterali ſuppurātur, ſi in quadraginta dieb. purgantur, à die à qua fit ruptio, liberantur. Si uerò nō: ad tabem tranſeunt.

Aphoriſ. 16.

❦ Calidum ubi quis ſæpius eo utatur, hæc mala affert, carniū effœminationem, neruorum incontinentiam, mentis torporē, profluuia ſanguinis, animi defectionem, hæc ad quæ mors.

Aphoriſ. 17.

❦ Frigidū autē, conuulſiones, diſtētiones, liuores, rigores febriles.

Aphor.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 90 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. ιη'

Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ, νωτιαίῳ μυελῷ, τὸ δὲ θερμὸν ὠφελιμόν.

Aphorif. 18.

Frigidum inimicū oßibus, dētibus, neruis, cerebro, ſpinali medullæ, calidum uerò, utile.

ΑΦΟΡΙΣ. ιθ'

Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει.

Aphorif. 19.

Quæcūq; refrigerata ſunt excalefacerē oportet, exceptis his quibus ſanguis fluit, aut fluxurus eſt.

ΑΦΟΡΙΣ. κ'

Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες. δέρμα περισκληρύνει ὀδύνην ἀνεκπύητον ποιέει, μελαίνει, ῥίγεα πυρετώδεα ποιεῖ, σπασμοὺς καὶ τετάνους.

Aphorif. 20.

Vlceribus, frigidū quidem mordax, cutem obdurat, dolorem inſuppurabilem facit, liuorē obducit, rigores febriles, conuulſiones, diſtentiones.

ΑΦΟΡΙΣ. κα'

Ἔσι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ θέρεος μέσου

Aphorif. 21.

Eſt aūt ubi in diſtentione ſine ulceratiōe, iuuene bene carnoſo, æſta

©BIU Santé



μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται.

ΑΦΟΡΙΣ. κβ´

Τὸ θερμὸν ἐκπυητικὸν οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφαλείην, δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων, σπασμῶν, τετάνων, παρηγορικόν. τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει, πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι, τούτων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται, καὶ ἕρπησιν ἐσθιομένοισιν,

te media, frigidæ aquæ multa perfusio calorem reuocat. Calor autē, hæc soluit.

## Aphoris. 22.

Calidum suppuratorium non in omni ulcere, magnum ad securitatem indicium, cutem mollit, extenuat, dolorem sedat, rigores, conuulsiones, & distensiones, mitigat: & ex his que ad caput attinent, eius soluit grauitatem, plurimū autem confert ossium fracturis, sed nudis præcipuè, eorumq; maximè qui in capite ulcera habēt, & quæcūq; à frigore moriuntur, uel ulcerātur, & repētibus comesis,

©BIU Santé



ἐσθιομένοισιν, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει, τουτέοισι τὸ θερμὸν φίλιον καὶ κρῖνον, τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

comesis, sedi, pudendis, utero, uesicæ: his calidũ amicum, & iudicans: frigidum inimicum, & perimens.

## ΑΦΟΡΙΣ. κγ΄

※ Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμορραγέειν μέλλει, μὴ ἐπ' αὐτά, ἀλλὰ περὶ αὐτά, ὁκόθεν ἐπιῤῥεῖ, καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα νεαρῷ αἵματι ἐπὶ ταῦτα, ἐπεὶ τά γε παλαιὰ μελαίνει, καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον, ἐπεὶ τό γε ἑλκούμενον βλάπτει.

## Aphoris. 23.

※ In his frigido utendum unde fluit sanguis, aut fluxurus est, non ad ipsa, sed circa ipsa unde influit: & quæcunq; inflammationes, uel inflammina ad rubrũ, & subcruentum sanguine recenti tendũt, nam ueteribus nigredinem affert. Erysipelas etiam nõ ulceratũ iuuat: nam exulceratum lædit.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 93 sur 669

©BIU Santé



### ΑΦΟΡΙΣ. κδ΄

※ Τὰ ψυχρὰ οἷον χιὼν καὶ κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καὶ καταῤῥοϊκά.

### ΑΦΟΡΙΣ. κε΄

※ Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα ἄτερ ἕλκεος καὶ ποδαγρικὰ καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολὺ καταχεόμενον, ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει, νάρκη δὲ μετρίη ὀδύνης λυτική.

### ΑΦΟΡΙΣ. κϛ΄

※ Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον.

ΑΦΟΡ.

### Aphoris. 24.

※ Frigida qualis nix, & glacies pectori inimica, tusses mouēt, & sanguinē, et destillationes.

### Aphoris. 25.

※ Tumores articulorum, atq; dolores absque ulcere, & podagricos quoq;, atque cōuulsa, horum plurima frigida aqua largè effusa leuat, et extenuat, soluitq; dolorem, nam modicus torpor dolorem soluit.

### Aphoris. 26.

※ Aqua quæ cito calet, et cito refrigeratur, leuißima est.

Aphor.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 94 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. κζ.

※ Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ, τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

ΑΦΟΡ. κη´

※ Γυναικείων ἀγωγὸν ἢ ἐν ἀρώμασι πυρίη, πολλαχῇ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει.

ΑΦΟΡ. κθ´

※ Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι χρή.

ΑΦΟΡΙΣ. λ´

※ Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νουσημάτων ληφθῆναι, θανάσιμον.

ΑΦΟΡ.

Aphoriſ. 27.

※ Qui noctu bibere appetũt, his admodum ſitientibus ſi ſuperdormierint, bonum.

Aphoriſ. 28.

※ Suffitus aromatũ muliebria ducit, ſæpius uerò ad alia utilis eſſet, niſi capitis faceret grauitatem.

Aphoriſ. 29.

※ Grauidas purgare turgẽte materiâ à quarto menſe uſq; ad ſeptimum, minus uerò has. Recentiores aũt, & ſeniores uereri oportet.

Aphoriſ. 30.

※ Mulierẽ utero gerentem capi ab aliquo morbo acuto, letale eſt.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. λα´

* Γυνὴ ἐν γαστρὶ ἔχουσα, φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον. ΑΦΟΡΙΣ. λβ´

* Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων, λύσις.

ΑΦΟΡΙΣ. λγ´

* Γυναικὶ τῶν καταμηνίων ἐκλειπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

ΑΦΟΡΙΣ. λδ´

* Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι. ΑΦΟΡ. λε´

* Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγενόμενος, ἀγαθόν.

ΑΦΟΡ.

Aphoriſ. 31.

* *Mulier utero gerens ſanguine miſſo ex uena, abortit: & magis ſi fœtus ſit maior.*

Aphoriſ. 32.

* *Mulieri ſanguinē euomēti, mēſtruis erumpentibus, ſolutio.*

Aphoriſ. 33.

* *Mēſtruis deficientibus ſanguis ex naribus fluens, bonum.*

Aphoriſ. 34.

*Mulieri in utero gerenti ſi aluus plurimū profluat, periculum eſt ne abortiat.*

Aphoriſ. 35.

* *Mulier quæ uterinis moleſtatur, aut difficulter parit, ſuperueniens ſternutatio, bonum.*

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. λϛʹ

Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι συμαίνει.

ΑΦΟΡΙΣ. λζʹ

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἐξαίφνης οἱ μασθοὶ ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

ΑΦΟΡΙΣ. ληʹ

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ θάτερον ἐκτιτρώσκει, καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν, ἢν δὲ ὁ ἀριστερὸς τὸ θῆλυ.

ΑΦΟΡΙΣ. λθʹ

Ἢν γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα, γάλα

Aphoriſ. 36.

Mulieri mēſes decolores, nec per idē ſemper tempus uenientes, purgationem indicant eſſe neceſſariam.

Aphoriſ. 37.

Mulieri utero gerenti ſi mammæ graciles repēte fiāt, abortit.

Aphoriſ. 38.

Mulieri utero gerenti, ſi altera mamma gracilis fiat geminos habenti, alterum abortit, & ſiquidē mamma dextera gracilis fiat, marem: ſi uerò ſiniſtra, fœminam.

Aphoriſ. 39.

Si mulier quæ neq; grauida eſt, neq; peperit,

©BIU Santé


γάλα ἔχει, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

rit, lac habet; huic menstrua defecerunt.

ΑΦΟΡΙΣ. μ'

Aphoris. 40.

* Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

* Quibuscunq; mulieribus ad mãmas sanguis colligitur, furorẽ significat.

ΑΦΟΡ. μα'

Aphoris. 41.

* Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν μέλλῃ καθεύδειν ἀδείπνῳ ἐούσῃ μελίκρατον διδου πιεῖν, καὶ ἢν περιστρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, κύει, ἢν δὲ μὴ, οὐ κύει.

* Si uelis noscere an conceperit mulier, cum dormitura est ei aquam mulsam potandam da: & si alui tormina patitur, concepit: si minus, non concepit.

ΑΦΟΡΙΣ. μβ'

Aphoris. 42.

* Γυνὴ ἔγκυος, εἰ μὲν ἄῤῥεν κύει, εὔχρους ἐστὶν, ἢν δὲ θῆλυ, δύσχρους.

* Mulier si marem concepit, bene colorata est: si uerò fœminã, male colorata.

ΑΦΟΡΙΣ. μγ'

Aphoris. 43.

* Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν

τῇ

* Si mulieris grauidæ, in utero sit erysipelas,

©BIU Santé



τῇ ὑστέρῃ γένηται, θανατῶδες. ΑΦΟΡ. μδʹ

Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσιν δίμηνα πρὶν ἢ παχυνθῆναι.

ΑΦΟΡΙΣ. μεʹ

Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ᾽ ἀποῤῥήγνυνται.

ΑΦΟΡΙΣ. μϛʹ

Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι, μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον

sipelas, letale.

## Aphoris. 44.

Quæcunq; præter naturã tenues existẽtes utero gerũt, abortiunt priusquàm crassescant.

## Aphoris. 45.

Quæcunq; mediocriter corpora habẽtes, abortiunt, secundo aut tertio mense sine occasione manifesta: his acetabula uteri plena mucoris sunt, & non possunt ex pondere fœtum continere, sed disrumpuntur.

## Aphoris. 46.

Quæcũq; præter naturã crassæ, non concipiunt utero, his omen

πλοον τὸ στόμα τῆς ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι, οὐ κύουσιν.

tum os uteri cōprimit, & priusquā extenuentur, non concipiunt.

ΑΦΟΡ. μζ΄

Aphoris. 47.

* Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ὀγκωμένη διαπυήσῃ, ἀνάγκη ἐμμότον γενέσθαι.

* Si uterus in coxā uergēs suppuratur, necesse est linamētū fieri.

ΑΦΟΡΙΣ. μη΄

Aphoris. 48.

* Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

* Fœtus, mares quidem in dextris: fœminæ uerò in sinistris magis.

ΑΦΟΡΙΣ. μθ΄

Aphoris. 49.

* Ὑστερέων ἐκπτώσιος πταρμικὸν προσθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

* Vt secunda procidat, sternutatorio apposito, & nares apprehendito, & os.

ΑΦΟΡΙΣ. ν΄

Aphoris. 50.

* Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

* Mulieri si uclis mēstrua cohibere, cucurbitulam quàm maximam ad mammas appone.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. να'

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τηνασμὸς ἐπιγενόμενος, ἐκτιτρώσκει.

ΑΦΟΡΙΣ. νβ'

Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

ΑΦΟΡΙΣ. νγ'

Γυναικὶ ἢν ἐν γαστρὶ ἐχούσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει, ἢν δὲ στερεοὶ οἱ μαζοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει.

ΑΦΟΡΙΣ. νδ'

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται· ἢν δὲ

πάλιν

Aphoriſ. 51.

*Mulieri utero gerenti tenaſmus ſuperueniens, abortum facit.*

Aphoriſ. 52.

*Quæ utero gerũt, his uteri os comprimitur.*

Aphoriſ. 53.

*Mulieri utero gerẽti, ſi lac multũ e mammis effluat, fœtum imbecillẽ ſignificat, ſi uerò, mammæ ſolidæ fuerint fœtum ſignificãt ſaniorem.*

Aphoriſ. 54.

*Quæ corruptura ſunt fœtus, his mammæ extenuãtur. Si uerò*



*rurſus*

©BIU Santé



πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσι γούνασιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, καὶ οὐ διαφθείρουσιν.

rursus duræ fiant, dolor aut mãmas, aut coxas, aut oculos, aut genua infestabit, & non corrumpent.

ΑΦΟΡΙΣ. νε´

* Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

Aphoris. 55.

* Quibus os uteri durum est, his uteri os cõprimi est necessariũ.

ΑΦΟΡΙΣ. νϛ´

* Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

Aphoris. 56.

* Quæcunq; utero gerentes à febribus corripiũtur, & fortiter calefiũt sine occasione manifesta, difficulter pariunt, & cum periculo, aut abortum facientes periclitantur.

ΑΦΟΡ. Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. νζ'

❊ Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

ΑΦΟΡΙΣ. νη'

❊ Καταμηνίων πλειόνων γινομένων, νόσοι ξυμβαίνουσι, καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι.

ΑΦΟΡΙΣ. νθ.

❊ Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ ὑστέρῃ πλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται, καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισιν στραγγουρίη ἐπιγίνεται, ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

ΑΦΟΡ. ξ

❊ Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βού-

λου



## Aphoris. 57.

❊ In fluxu muliebri si conuulsio, & animi defectus aduenerit, malū.

## Aphoris. 58.

❊ Si menstrua plura fiant, accidunt morbi: & si nō fiant, ex utero morbi contingunt.

## Aphoris. 59.

❊ Recto intestino, aut utero inflammationem patiente, urinæ stillicidium accidit, & renibus purulētis urinæ aduenit stillicidium.

## Aphoris. 60.

❊ Si mulier nō cōci-



pit,

©BIU Santé



λῃ δ' εἰδέναι εἰ λήψε-
ται, περικαλύψας ἱμα-
τίοισι θυμία κάτω. κἢν
μὲν πορεύεσθαι σοι
δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ
σώματος ἐς τὰς ῥῖνας,
καὶ ἐς τὸ στόμα, γίνωσκε
ὅτι αὐτὴ οὐ δι' ἑωυτὴν
ἄγονός ἐστιν.

ΑΦΟΡΙΣ. ξα'

Ἢν γυναικὶ ἐν γα-
στρὶ ἐχούσῃ αἱ καθάρσιες
πορεύωνται, ἀδύνα-
τον τὸ ἔμβρυον ὑγιαί-
νειν.

ΑΦΟΡΙΣ. ξβ'

Ἢν γυναικὶ καθάρ-
σιες μὴ πορεύωνται,
μήτε φρίκης, μήτε πυ-
ρετοῦ ἐπιγενομένου,
ἄσαι δὲ αὐτῇ προσπί-
πτωσι, λογίζου ταύ-
την ἐν γαστρὶ ἔχειν.

ΑΦΟΡ.

cipit, scire autem uelis
si cõc ptura sit, pannis
circuntectam de subter
suffias, & si odor uidea
tur per corpus ire ad
nares, & os, scito quòd
ipsa non ex seipsa steri
lis est.

Aphoris. 61.

Si mulieri utero ge
renti purgationes eant,
impossibile est fœtum
esse sanum.

Aphoris. 62.

Si mulieri cessent
purgationes, neque fe-
bris, neque rigor super
ueniat, & fastidia inci-
dãt, iudica ipsam in ute-
ro habere.

Aphor.

©BIU Santé



### ΑΦΟΡΙΣ. ξγʹ

❊ Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσιν, οὐ κυΐσκουσι, καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσιν. ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαεῖς, ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα, ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

### Aphoriſ. 63.

❊ Quæcunque frigidos, et ſpiſſos uteros habent, non concipiunt. Et quæcunq; præhumidos uteros habent non concipiũt: extinguitur enim in eis genitura. Et quæcunque ſiccos, magis et adurentes: nam ex defectu alimenti corrumpitur ſemen. Quæcunque uerò ex utriſq; mediocrem habent temperaturam, hæ fœcundæ ſunt.

### ΑΦΟΡΙΣ. ξδʹ

❊ Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀρρένων. ἢ γὰρ διὰ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ μὴ

### Aphoriſ. 64.

❊ Similiter autem et in marib. aut enim propter corporis raritatẽ ſpiritus extra fertur, ut



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 105 sur 669

©BIU Santé



τὸ μὴ παραπέμπειν τὸ σπέρμα, ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω, ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυροῦται, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον, ἢ διὰ τὴν θερμασίην τὸ αὐτὸ τοῦτο γίνεται.

ſemen non tranſmittatur ad os, uel propter ſpißitudinē humor non exit foras: uel propter frigiditatem non concaleſcit, ita ut ad hunc colligatur locum, uel propter caliditatē hoc idē accidit.

### ΑΦΟΡΙΣ. ξε´

⁂ Γάλα διδόναι κεφαλαλγέουσι, κακόν. Κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, καὶ τοῖσι διψώδεσι, Κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ διαχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι καὶ οἷσιν αἵματος πολλὴ διαχώρησις γέγονεν, ἁρμόζει

### Aphoriſ. 65.

⁂ Lac dare caput dolentibus, malum: malum uerò & febricitātibus, & quibus ilia ſuſpenſa murmurant, & ſiticuloſis: malum autem & quibus in febribus acutis bilioſæ ſunt deiectiones, & quib. ſanguinis multi deiectio facta eſt.

Conuenit

©BIU Santé



ἁρμόζει δὲ τοῖσι φθινώδεσι. μὴ λίην πολλῶ πυρέσσουσι, διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι, βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκόσιν.

## ΑΦΟΡΙΣ. ξϛʹ

❦ Ὁκόσοισιν οἰδήματα ἐφ᾽ ἕλκεσι φαίνονται, οὐ μάλλον σπῶνται, οὐδὲ μαίνονται, τουτέων δ᾽ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν σπασμοί, τέτανοι, τοῖσι δὲ ἔμπροσθεν μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

Conuenit autem, & tabidis dare qui non ualde multum febricitant, & in febribus lõgis, & paruis, si nullum ex supradictis signis affuerit, & prӕter rationem consumptis.

## Aphoris. 66.

❦ Quibus tumores in ulceribus apparent non conuelluntur maxime, neque insaniunt. Verum his euanescentibus de repente, quibusdam à tergo cõuulsiones & distentiones fiunt: quibusdã ante insania, uel dolor lateris acutus, uel suppuratio, uel difficultas intestinorum, si tumores sunt rubicundi.

©BIU Santé



ΑΦΟΡΙΣ. ξζ΄

❀ Ἢν τραυμάτων πονηρῶν καὶ ἰσχυρῶν ἐόντων, οἰδήματα μὴ φαίνηται, μέγα κακόν.

Aphoris. 67.

❀ *Si in uulneribus fortibus, & prauis tumor non appareat, ingens malum.*

ΑΦΟΡΙΣ. ξη΄

❀ Τὰ χαῦνα χρηστά, τὰ δὲ ἔνομα κακά.

Aphoris. 68.

❀ *Molles, boni: crudi uerò, mali.*

ΑΦΟΡΙΣ. ξθ΄

❀ Τῶν ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένων, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφελέει.

Aphoris. 69.

❀ *Dolenti partem capitis posteriorem, in fronte recta uena incisa prodest.*

ΑΦΟΡΙΣ. ο΄

❀ Ῥίγεα ἄρχεται γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν, ἀνδράσι δὲ μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος. οἷον πηχέων, καὶ μηρῶν, ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν, δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

Aphoris. 70.

❀ *Rigores incipiũt mulierib. quidẽ ex lũbis magis, & per dorsum ad caput: sed & uiris parte corporis posteriore magis, quàm anteriore, ueluti femorũ, cubiti. Sed et cutis rara, indicio autem est pilus.*

©BIU Santé



ΑΦΟΡΙΣ. οα'

Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, οὐ πάνυ τοι ὑπὸ σπασμοῦ ἁλίσκονται, ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

Aphoris. 71.

A quartanis capti non admodum conuulsionibus capiuntur. Si uero prius capiantur, & quartana supcruenerit, liberantur.

ΑΦΟΡΙΣ. οβ'

Ὁκόσοισι δέρματα περιτείνεται, καρφαλέα καὶ σκληρὰ ἄνευ ἱδρῶτος τελευτῶσιν· ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ σὺν ἱδρῶτι τελευτῶσιν.

Aphoris. 72.

Quibus cutes circumtenduntur aridæ & siccæ, sine sudore moriuntur, quibus uerò laxæ & raræ, cum sudore moriuntur.

ΑΦΟΡΙΣ. ογ'

Οἱ ἰκτεριώδεες οὐ πάνυ τοι πνευματώδεές εἰσι.

Aphoris. 73.

Qui regio morbo laborant, non multum uentosi sunt.

©BIU Santé



# ΙΠΠΟΚΡΑΤΟΥΣ Κώου Ἀφορισμῶν βιβλίον ἕκτον.

## ΑΦΟΡΙΣ. α'

Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγενομένη, μὴ πρότερον γενομένη σημεῖον ἀγαθόν.

## ΑΦΟΡΙΣ. β'

Οἷσι ῥῖνες ὑγρότεραι φύσει καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον, οἷσι δὲ τὰ ἐναντία ὑγιεινότερον.

## ΑΦΟΡΙΣ. γ'

Ἐν τῇσι μακρῇσι δυσιν-

# HIPPOCRATIS Coi Aphorismorum Liber VI.

## Aphoris. 1.

In longis leuitatib. intestinorum si ructus acidus fiat, qui prius non erat, signum bonum.

## Aphoris. 2.

Quibus nares natura humidiores, & genitura humidior, minus integra sanitate fruuntur. Quibus uerò cõtraria, salubrius degũt.

## Aphoris. 3.

In lõgis difficultatibus

©BIU Santé



δυσεντερίῃσιν αἱ ἀπὸ σιτίαι, κακὸν, καὶ σὺν πυρετῷ, κάκιον.

ΑΦΟΡΙΣ. δ´

Τὰ περιμάδηρα ἕλκεα, κακοήθεα.

ΑΦΟΡΙΣ. ε´

Τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισι μέλεσιν, ἢν μέγα διαφέρωσι καταμαθητέον.

ΑΦΟΡΙΣ. ϛ´

Τὰ νεφρικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβυτέροισι.

ΑΦΟΡΙΣ. ζ´

Τὰ ἀλγήματα καὶ οἰδήματα τα κατὰ τὴν κοιλίην γινόμενα, τὰ

bus intestinorũ, inediæ ex fastidio malũ, & cũ febre peius.

Aphoris. 4.

Vulnera circũglabra, praua sunt.

Aphoris. 5.

Dolores qui sunt in lateribus & pectoribus, atq; alijs partibus, si multum differãt perdiscendum.

Aphoris. 6.

Renum, & uesicæ uitia in senioribus difficulter sanantur.

Aphoris. 7.

Dolores uẽtris sublimes

©BIU Santé



τὰ μὲν μετέωρα, κουφότερα, τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

ΑΦΟΡΙΣ. η'

Τοῖσιν ὑδρωπιῶσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι οὐ ῥηϊδίως ὑγιάζεται.

ΑΦΟΡΙΣ. θ'

Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

ΑΦΟΡΙΣ. ι'

Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι, πύον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα, λύει τὸ νούσημα.

ΑΦΟΡΙΣ. ια'

Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσι,

limes leuiores. Qui uero non sublimes, fortiores.

Aphoriſ. 8.

Aqua inter cutem laborantibus, ulcera in corpore facta difficulter ſanantur.

Aphoriſ. 9.

Latæ puſtulæ non admodum pruriunt.

Aphoriſ. 10.

Caput dolenti, & circundolenti, pus, uel aqua, uel ſanguis effluens per nares, aut os, aut aures, morbũ ſoluit.

Aphoriſ. 11.

Atra bile uexatis, & renum

©BIU Santé



φρενιτικοῖσι, αἱμοῤῥοΐδες ἐπιγενόμεναι, ἀγαθόν. ΑΦΟΡ. ιβ΄

Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία διαφυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν.

ΑΦΟΡΙΣ. ιγ΄

Ὑπὸ λυγμοῦ ἐχομένῳ, πταρμοὶ ἐπιγενόμενοι λύουσι τὸν λυγμόν. ΑΦΟΡ. ιδ΄

Ὑπὸ ὕδρωπος ἐχομένῳ τὰς κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

ΑΦΟΡΙΣ. ιε΄

Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγενόμενος, λύει τὴν διαῤῥοίην.

ΑΦΟΡ.

renum paßionibus, hæmorrhoides superuenientes, bonum.

Aphoris. 12.

A diuturnis sanato hæmorrhoidibus, si unà non seruatur, periculum est aquam inter cutẽ, uel tabẽ aduenire.

Aphoris. 13.

A singultu habitũ sternutatio superueniens liberat.

Aphoris. 14.

Ab aqua inter cutem habito, si aqua è uenis in uentrem defluxerit, soluitur morbus.

Aphoris. 15.

A lõgo alui profluuio habito, spontaneus uomitus superueniens, morbum soluit.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. ιϛʹ

Ὑπὸ πλευρίτιδος ἢ ὑπὸ περιπνευμονίης ἐχομένῳ διάῤῥοια ἐπιγενομένη, κακόν.

Aphoris. 16.

A morbo laterali, uel pulmonia habito, alui profluuiū adueniens, malum.

ΑΦΟΡ. ιζʹ

Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν.

Aphoris. 17.

Lippientē alui profluuio corripi, bonum.

ΑΦΟΡΙΣ. ιηʹ

Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

Aphoris. 18.

Vesica discissa, aut cerebro, aut corde, aut septo, aliquo ex tenuioribus intestinis, aut uentriculo, aut iecore letale est.

ΑΦΟΡΙΣ. ιθʹ

Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

Aphoris. 19.

Cū discissum fuerit os, aut carthilago, uel neruus, aut genæ particula tenuis, uel præputium, neq; augetur, neq; coalescit.

ΑΦΟΡ. Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. κ'

Ἢν ἐς τὴν κοιλίην αἷμα ἐκχυθῇ παρὰ φύσιν, ἀνάγκη ἐμπυηθῆναι.

Aphoris. 20.

Si in uentrem sanguis præter naturā effunditur, necesse est suppurari.

ΑΦΟΡ. κα'

Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμορροΐδων ἐπιγενομένων, τῆς μανίης λύσις.

Aphoris. 21.

In insanientibus si uarices, uel hæmorrhoides superuenerint, insaniæ solutio.

ΑΦΟΡΙΣ. κβ'

Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

Aphoris. 22.

Quæcunq; rupta ex dorso ad cubitū descendūt, uenæ sectio soluit.

ΑΦΟΡΙΣ. κγ'

Ἢν φόβος καὶ δυσθυμίη πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

Aphoris. 23.

Si timor, atq; mœstitia longo tēpore habētes perseuerēt, ex cō atra bilis significatur.

ΑΦΟΡΙΣ. κδ'

Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

Aphoris. 24.

Si quod intestinorum gracilium discindatur, non coalescit.

©BIU Santé



ΑΦΟΡΙΣ. κε´

* Ἐρυσίπελας ἔξωθεν κατακεόμενον ἔσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

ΑΦΟΡΙΣ. κϛ´

* Ὁκόσοισιν ἐν τοῖσι καύσοισι τρόμοι γίνονται, παρακοπὴ λύει.

ΑΦΟΡΙΣ. κζ´

* Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ καίονται, ἢ τέμνονται, ἐκρυέντος τοῦ πύου ἢ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται. ΑΦΟΡ. κη´

* Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

ΑΦΟΡΙΣ. κθ´

* Γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτῇ ἐκλείπῃ.

Ἀφορ.

Aphoriſ. 25.

* Eryſipelas ab exterioribus uerti ad interiora, nõ eſt bonum: ab interioribus aũt ad exteriora, bonum.

Aphoriſ. 26.

* Qui in febribus ardẽtibus tremores fiũt, delirio ſoluuntur.

Aphoriſ. 27.

* Quicũq; ſuppurati, aut aquã inter cutẽ patiẽtes urũtur, aut ſecantur, ſi pus, aut aqua uniuerſum effluxerit, oẽs moriũtur. Aphor. 28

* Eunuchi, neq; podagra laborãt, neq; calui fiunt. Aphor. 29.

* Mulier podagra non laborat, niſi menſtrua defecerint.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. λʹ

❀ Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

Aphoris. 30.

❀ Puer podagra non laborat, ante usum uenereorũ.

ΑΦΟΡΙΣ. λαʹ

❀ Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακείη λύει.

Aphoris. 31.

❀ Dolores oculorũ meri potio, aut balneũ, aut uenæ sectio, aut medicamentum soluit.

ΑΦΟΡΙΣ. λβʹ

❀ Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

Aphoris. 32.

❀ Balbi ab alui profluuio maximè capiuntur.

ΑΦΟΡΙΣ. λγʹ

❀ Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ τι πλευριτικοὶ γίνονται.

Aphoris. 33.

❀ Qui acidum eructant, non ualde morbo laterali corripiuntur.

ΑΦΟΡΙΣ. λδʹ

❀ Ὁκόσοι φαλακροὶ τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται. ὁκόσοισιν δὲ φαλακροῖ

σιν

Aphoris. 34.

❀ Quicũq; calui sunt, his magnæ uarices nõ fiunt. Quibus uerò caluis

©BIU Santé



σιν ἐοῦσι κιρσοὶ ἐπιγίνονται, πάλιν οὗτοι γίνονται δασέες.

ΑΦΟΡΙΣ. λε'

* Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγενομένη, κακόν.

ΑΦΟΡΙΣ. λς'

* Δυσουρίην φλεβοτομίη λύει, τέμνειν δὲ τὰς εἴσω.

ΑΦΟΡΙΣ. λζ'

* Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ, ἀγαθόν, ἔξω γὰρ τρέπεται τὸ νούσημα.

ΑΦΟΡΙΣ. λη'

* Ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον, θεραπευόμενοι γὰρ ἀπόλλυν-

*uarices magnæ superueniunt, hi rursus capillati fiunt.*

Aphoris. 35.

* *Aqua inter cutem laborantibus tußis, superueniens, malum.*

Aphoris. 36.

* *Difficultatē urinæ uena secta iuuat: secare uerò interiores.*

Aphoris. 37.

* *Ab angina habito, si tumor fiat in collo, bonum, foras enim morbus deducitur.*

Aphoris. 38.

* *Cancros occultos omnes melius est non curare. Curati enim*

*cito*

©BIU Santé



ἀπόλλυνται ταχέως, μὴ θεραπευόμενοι δὲ, πολὺν χρόνον διατελοῦσι.

cito pereunt, non curati uerò, longius tempus perdurant.

ΑΦΟΡΙΣ. λθʹ

* Σπασμὸς γίνεται ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος, οὕτω δὲ καὶ λυγμός.

Aphoris. 39.

* Cõuulsio fit, uel ex repletione, uel inanitione: ita uerò & singultus.

ΑΦΟΡΙΣ. μʹ

* Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνος γίνεται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον.

Aphoris. 40.

* Quibus dolor circa ilium fit absq; inflammatione, his febris superueniens, morbũ soluit.

ΑΦΟΡΙΣ. μαʹ

* Ὁκόσοισι διὰ πύον τι ἐὸν ἐν τῷ σώματι μὴ ἀποσημαίνῃ, τουτέοισι διὰ παχύτητα τοῦ πύου ἢ τοῦ τόπου οὐκ ἀποσημαίνει.

Aphoris. 41.

* Quibuscunq; suppuratio in corpore existens nõ innotescit, his ob craßitudinem puris, aut loci, non innotescit.

©BIU Santé



ΑΦΟΡΙΣ. μβ′

Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γένεσθαι, πονηρόν.

ΑΦΟΡΙΣ. μγ′

Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγενομένης μακρῆς τῆς δυσεντερίης, ἢ ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

ΑΦΟΡΙΣ. μδ′

Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἅλις τὸ οὖρον ῥυῇ.

ΑΦΟΡΙΣ. με′

Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη

Aphoriſ. 42.

Morbo regio laboratibus, ſi fiat hepar durum, malum.

Aphoriſ. 43.

Quicunq; lienoſi à difficultate inteſtinorũ capiuntur, his ſuperueniente longa difficultate inteſtinorũ, aqua inter cutẽ, aut leuitas inteſtinorũ aduenit, & moriuntur.

Aphoriſ. 44.

Quibus ex ſtillicidio urinæ ileos ſuperuenerit, in ſeptem diebus pereunt, niſi febre ſuperueniente, ſatis urina fluxerit.

Aphoriſ. 45.

Vlcera quæcunque annua ſunt, aut etiã diuturniora

©BIU Santé



ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι.

ΑΦΟΡΙΣ. μς´

* Ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης ἀπόλλυνται.

ΑΦΟΡ. μζ´

* Ὁκόσοισι φλεβοτομίη ἢ φαρμακείη ξυμφέρει, τούτους προσῆκον τοῦ ἦρος φλεβοτομεῖν ἢ φαρμακεύειν.

ΑΦΟΡΙΣ. μη´

* Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν.

ΑΦΟΡΙΣ. μθ´

* Ὁκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

Ἀφορ.

turniora, os abscedere est necessarium, & cicatrices cauas fieri.

Aphoris. 46.

* Qui gibbi ex asthmate aut tussi fiũt ante pubertatẽ, moriuntur.

Aphoris. 47.

* Quibuscunque uenae sectio, uel purgatio cum medicamento conuenit, hos uere purgare, uel uenam incidere oportet.

Aphoris. 48.

* Lienosis difficultas intestinorum superueniens, bonum.

Aphoris. 49.

* Quicunq; morbi podagrici fiũt, hi sedata in quadraginta diebus inflammatione, finiunt.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 121 sur 669

©BIU Santé


ΑΦΟΡΙΣ. ν'

Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

Aphoriſ. 50.

Quibuſcunq; præciditur cerebrum, his neceſſe febrē, & bilis uomitum ſuperuenire.

ΑΦΟΡΙΣ. να'

Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

Aphoriſ. 51.

Quicunque ſani dolore capitis repente capiūtur, & ſtatim muti fiunt, & ſtertūt, in ſeptem diebus pereūt, niſi febris apprehēderit.

ΑΦΟΡΙΣ. νβ'

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν, ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ δι-

αῤῥοίης

Aphoriſ. 52.

Oportet uerò & conſiderare oculorum in dormientibus ſuſpectiones. Nam ſi quid album cōmißis palpebris ſubinſpicitur, neq; ex al

ui

©BIU Santé



ἀῤῥοίης ἐόντι ἢ ἐκ φαρμακοποσίης φλαῦρον τὸ σημεῖον, θανατῶδες σφόδρα.

ui profluuio, aut medicamẽti potione istud cõtingat, malum est signum, & letale ualde.

ΑΦΟΡΙΣ. νγʹ

⁂ Αἱ παραφροσύναι αἱ μὲν μετὰ γέλωτος γινόμεναι ἀσφαλέστεραι, αἱ δὲ μετὰ σπουδῆς ἐπισφαλέστεραι.

Aphoriſ. 53.

⁂ Desipientiæ quæ cum risu fiunt, securiores: quæ uerò cum studio, periculosiores.

ΑΦΟΡΙΣ. νδʹ

⁂ Ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακόν.

Aphoriſ. 54.

⁂ In acutis paßionibus quæ cũ febre sunt, luctuosa suspiria, malũ.

ΑΦΟΡΙΣ. νεʹ

⁂ Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέται ὡς ἐπὶ τὸ πολύ.

Aphoriſ. 55.

⁂ Dolores podagrici, uere, & autumno magna ex parte mouētur.

ΑΦΟΡΙΣ. νϛʹ

⁂ Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς

Aphoriſ. 56.

⁂ In morbis melãch. ad



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 123 sur 669

©BIU Santé



τὰ δὲ ἐπικίνδυνοι, αἱ ἀποσκήψιες, ἢ ἀποπληξίην τοῦ σώματος, ἢ σπασμὸν. ἢ μανίην, ἢ τύφλωσιν σημαίνει.

ΑΦΟΡΙΣ. νζ´

※ Ἀπόπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα. ΑΦΟΡ. νη´

※ Ἢν ἐπίπλους ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι. ΑΦΟΡ. νθ´

※ Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης, ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

ΑΦΟΡΙΣ. ξ´

※ Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν

hæc periculosi decubitus, stuporem corporis, uel cõuulsionem, uel furorẽ, uel cæcitatem significant.

Aphoris. 57.

※ Apoplexiæ autem fiunt, maxime à quadragesimo anno usq; ad sexagesimum.

Aphoris. 58.

※ Si omentũ excidat, necessario putrescit.

Aphoris. 59.

※ Quibuscunq; à coxendicum dolore molestatis excidit coxa, & rursus incidit, his mucores superueniunt.

Aphoris. 60.

※ Quibuscũq; à coxendicum

©BIU Santé



νουσιν χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος καὶ χωλοῦνται, ἢν μὴ καυθῶσιν.

# ΙΠΠΟΚΡΑΤΟΥΣ

## Κώου Ἀφορισμῶν βιβλίον ἕβδομον.

### ΑΦΟΡΙΣ. α΄

ἘΝ τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

### ΑΦΟΡΙΣ. β΄

Ἐπὶ ὀστέῳ νοσοῦντι σὰρξ πελιδνὴ, κακόν.

### ΑΦΟΡΙΣ. γ΄

Ἐπὶ ἐμέτῳ λυγξ



dicum dolore molestatis diuturno excidit, coxa, his crus tabescit & claudicant, si non urantur.

# HIPPOCRATIS

## Coi Aphorismorum Liber VII.

### Aphoris. 1.

IN morbis acutis, frigus partium extremarum, malum.

### Aphoris. 2.

In osse ægrotante caro liuida malum est.

### Aphoris. 3.

A uomitu singultus,

©BIU Santé


καὶ ὀφθαλμοὶ ἐρυθροί, κακόν.

ΑΦΟΡΙΣ. δ'

Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

ΑΦΟΡΙΣ. ε'

Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

ΑΦΟΡΙΣ. ς'

Ἐπὶ νούσῳ πολυχρονίῃ ἀσιτίη καὶ χολώδες ὑποχωρήσιες, κακόν.

ΑΦΟΡΙΣ. ζ'

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

ΑΦΟΡΙΣ. η'

Ἐπὶ φύματος εἴσω ῥήξιος, ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη γίνεται.

*& oculorum rubor, malum.*

Aphoris. 4.

*A sudore horror, non bonum.*

Aphoris. 5.

*A furore difficultas intestinorum, uel aqua inter cutē, uel mentis alienatio, bonum.*

Aphoris. 6.

*In morbo diuturno, fastidiū cibi & deiectiones syncerae, malū.*

Aphoris. 7.

*Ex multa potatione rigor & desipiētia, malum.*

Aphoris. 8.

*A tuberculi intus ruptione, exolutio, uomitio, aut animi defectio fit.*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 126 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. θ΄

❦ Ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμός, κακόν.

ΑΦΟΡΙΣ. ι΄

❦ Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λύγξ, ἢ σπασμός, ἢ παραφροσύνη, κακόν.

ΑΦΟΡΙΣ. ια΄

❦ Ἐπὶ πλευρίτιδι περιπνευμονίη, κακόν.

ΑΦΟΡ. ιβ΄

❦ Ἐπὶ περιπνευμονίῃ φρενῖτις κακόν.

ΑΦΟΡΙΣ. ιγ΄

❦ Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν.

ΑΦΟΡΙΣ. ιδ΄

❦ Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν.

ΑΦΟΡ.



Aphoriſ. 9.

❦ A profluuio ſanguinis, deſipientia, ac conuulſio, malum.

Aphoriſ. 10.

❦ Ab ileo, uomitus, ſingultus, deſipiētia, uel conuulſio, malum.

Aphoriſ. 11.

❦ A morbo laterali inflammatio pulmonis, malum.

Aphoriſ. 12.

❦ A pulmonis inflammatiõe phrenitis, malũ.

Aphoriſ. 13.

❦ Ab æſtibus fortibus cõuulſio, aut diſtentio, malum.

Aphoriſ. 14

❦ In capitis ictu obſtupeſcētia, & deſipientia, malum.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. ιε΄.

* Ἐπὶ αἵματος πτύσει πύου πτύσις, κακόν.

Aphoris. 15.

* A sanguinis sputo, puris sputũ, malum.

ΑΦΟΡΙΣ. ις΄

* Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις, ἐπὴν δὲ σίελον ἴσχεται, ἀποθνήσκουσιν.

Aphoris. 16.

* A puris sputo pthisis, et fluxus: cũ uerò sputũ retinetur, moriũtur.

ΑΦΟΡΙΣ. ιζ΄

* Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λύγξ, κακόν.

Aphoris. 17.

* In hepatis inflammatione singultus, malum.

ΑΦΟΡΙΣ. ιη΄

* Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη κακόν. ΑΦΟΡ. ιθ΄

* Ἐπὶ ὀστέου ψιλώσει, ἐρυσίπελας.

Aphoris. 18.

* In uigilia, conuulsio, uel desipiẽtia malũ.

Aphoris. 91.

* In oßis exutione erysipelas.

ΑΦΟΡΙΣ. κ΄

* Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν ἢ ἐκπύησις, κακόν. ΑΦΟΡ. κα΄

* Ἐπὶ ληθάργῳ τρόμος, κακόν.

Aphoris. 20.

* Ab erysipelate, putredo, aut suppuratio, malũ. Aphoris. 21.

* In ueterno tremor, malum.

©BIU Santé



ΑΦΟΡΙΣ. κβ'

Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη.

ΑΦΟΡΙΣ. κγ'

Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῶν περὶ τὴν κοιλίην, ἐκπύησις.

ΑΦΟΡΙΣ. κδ'

Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη.

ΑΦΟΡΙΣ. κε'

Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη καὶ ἔκπληξις, ἢν κενεὸν λάβῃ.

ΑΦΟΡΙΣ. κς'

Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

ΑΦΟΡΙΣ. κζ'

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν.

ΑΦΟΡ.

Aphoriſ. 22.

A forti in ulceribus pulſu, profluuiũ ſanguinis, malum.

Aphoriſ. 23.

A uentris dolore diuturno, ſuppuratio.

Aphoriſ. 24.

A deiectiõe ſyncera, difficultas inteſtinorũ.

Aphoriſ. 25.

In oſſis præciſione deſipientia, ſi in uacuum apprehenderit.

Aphoriſ. 26.

Ex medicamenti potione conuulſio, letalis eſt.

Aphoriſ. 27.

In forti dolore uentris, partium extremarum frigiditas, malum.

Aphor.

ΑΦΟΡΙΣ. κη´

※ Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινεσμὸς ἐπιγενόμενος ἐκτρῶσαι ποιέει.

ΑΦΟΡΙΣ. κθ´

※ Ὅτι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται, οὔτε συμφύεται.

ΑΦΟΡΙΣ. λ´

※ Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάρροια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον. ΑΦΟΡ. λα´

※ Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς φλέγμα καταῤῥεῖ.

ΑΦΟΡ.

Aphoriſ. 28.

※ Mulieri utero gerenti, ſi tenſio ſuperuenerit, facit aborſum.

Aphoriſ. 29.

※ Quãdo os, aut cartilago, aut neruus abſcinditur in corpore, nõ augetur.

Aphoriſ. 30.

※ Qui alba pituita detinetur, ſi fortis uentris fluxus ſuperuenerit, à morbo liberatur.

Aphoriſ. 31.

※ Quibus in alui profluuijs excrementa ſpumoſa ſunt, his ex capite pituita defluit.

Aphor.

©BIU Santé



### ΑΦΟΡΙΣ. λβ΄

✻ Ὁκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

### ΑΦΟΡΙΣ. λγ΄

✻ Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταί, ὀξεῖην ἀῤῥωστίην σημαίνει.

### ΑΦΟΡΙΣ. λδ΄

✻ Ὁκόσοισι διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν.

### ΑΦΟΡΙΣ. λε΄

✻ Ὁκόσοισιν ἐν τοῖσιν οὔροισιν πομφόλυγες ἐφίστανται, νεφριτικὰ σημαίνουσι, καὶ μακρὴν

### Aphoriſ. 32.

✻ *Quibuſcũq; febricitantibus, in urinis fiunt ſedimina, ueluti farina craßior, longam ægritudinem fore ſignificat.*

### Aphoriſ. 33.

✻ *Quibus autem biliosa ſedimina ſupra tenuia, acutum morbũ ſignificant.*

### Aphoriſ. 34.

✻ *Quibuſcũq; urinæ diſtantes ſunt, his turbatio fortis in corpore fit.*

### Aphoriſ. 35.

✻ QVIBVS *in urinis bullæ ſubſiſtunt, morbum renalem, & longum*

©BIU Santé



μακρὴν τὴν ἀῤῥωστίην ἔσεσθαι.

longum significant.

ΑΦΟΡΙΣ. λϛʹ

Aphoris. 36.

* Ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφρητικὰ καὶ ὀξέα σημαίνει.

* Quibus insidens pingue, ac simul totum his, renum uitium acutum significatur.

ΑΦΟΡΙΣ. λζʹ

Aphoris. 37.

* Ὁκόσοισι δὲ νεφρητικοῖσιν ἐοῦσι, τὰ προειρημένα συμβαίνει σημεῖα, πόνοι τε ὀξέες περὶ τοὺς μύας τῆς ῥάχιος γίνονται. ἐὰν μὲν περὶ τοὺς ἔξω τόπους γένωνται ἀπόστημα προσδέχου ἐσόμενον ἔξω, ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς εἴσω τόπους, γίνονται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον εἴσω.

* Quibus autē morbo renali laborantibus, prædicta accidūt signa doloresq; circa spinæ musculos fiunt, siquidē circa loca exteriora fiant, abscessus quoq; exterius futuros expecta: si uerò dolores magis circa loca interiora fiant, etiā abscessus expecta futuros interius.

ΑΦΟΡ. Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. λη'

❦ Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον, εἰ δὲ ξὺν πυρετῷ, κακόν, θεραπεύειν δὲ χρὴ στυπτικοῖσι καὶ τοῖσι ψυκτικοῖσι.

ΑΦΟΡΙΣ. λθ'

❦ Καταῤῥόοι ἐς τὴν ἄνω κοιλίην ἐκπυΐσκονται ἐν ἡμέρῃσιν εἴκοσιν.

ΑΦΟΡΙΣ. μ'

❦ Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸν περίνεον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσεῖν σημαίνει.

ΑΦΟΡΙΣ. μα'

❦ Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται,

Aphoriſ. 38.

❦ Quicunq; euomūt ſanguinem, ſi ſine febre quidem, ſalutare: ſi uerò cum febre, malum. Curare uerò acerbis, & refrigerantibus.

Aphoriſ. 39.

❦ Destillationes in uētrem ſuperiorem, ſuppurantur intra uiginti dies.

Aphoriſ. 40.

❦ Si quis ſanguinem minxerit, & grummos, & ſtillicidio urinæ laboret, & dolor inciderit in femur & imū uētrem, pectineq́;, quæ circa ueſicam male ſe habere ſignificatur.

Aphoriſ. 41.

❦ SI LINGVA repēte incōtinens fiat,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 133 sur 669

©BIU Santé



ται, ἢ ἀπόπληκτόντι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτον γίνεται.

ΑΦΟΡ. μβ΄

⁂ Ἢν φόβος ἢ δυσθυμίη πολὺν χρόνον ἔχουσα διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

ΑΦΟΡΙΣ. μγ΄

⁂ Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

ΑΦΟΡΙΣ. μδ΄

⁂ Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς λύσις τοῦ πυρετοῦ γίνεται.

ΑΦΟΡΙΣ. με΄

⁂ Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

Ἀφορ.

aut aliqua pars corporis ſtupore elanguit, tale eſt melancholicum.

## Aphoriſ. 42.

⁂ Si timor atq; mœſtitia longo tempore hominem habentes perſeuerauerint, tale eſt melancholicum.

## Aphoriſ. 43.

⁂ Si ſenioribus ſupra modũ purgatis, ſingultus ſuperuenerit, nõ bonum.

## Aphoriſ. 44.

⁂ Si febris nõ ex bile habeat, multa aqua calida capiti ſuperinfuſa, ſolutio fit febris.

## Aphoriſ. 45.

⁂ Mulier ambidextera non fit.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. μϛʹ.

✻ Ὁκόσοι ἐμπύοι καίονται ἢ τέμνονται, ἢν μὲν τὸ πύον καθαρὸν ξύῃ καὶ λευκὸν, περιγίνονται, ἢν δὲ ὕφαιμόν τε βορβορῶδες καὶ δυσῶδες ἀπόλλυνται.

Aphoris. 46.

✻ Quicunq; suppurati uruntur, uel secantur, si pus purum fluxerit, & album, euadunt: si uerò subcruētum, & fœculentum, ac fœtidū, pereunt.

ΑΦΟΡΙΣ. μζʹ

✻ Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢ τέμνονται, ἢν μὲν τὸ πύον καθαρὸν ξύῃ καὶ λευκὸν, περιγίνονται, ἐν χιτῶνι γὰρ τὸ πύον τουτέοισιν ἐστιν, ἢν δὲ οἷον ἀμοργὴ ξύῃ ἀπόλλυνται.

Aphoris. 47.

✻ Quorū hepar suppuratū aduritur, si pus purum fluxerit, et albū, euadunt: in tunica enim his pus continetur: si uerò qualis amurca fluat, pereunt.

ΑΦΟΡΙΣ. μηʹ

✻ Ὀδύνας ὀφθαλμῶν ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ φλεβοτόμει.

Aphoris. 48.

✻ Dolores oculorū post meri potionem, & aquæ calidæ balneū, uenæ sectione curato.

©BIU Santé



ΑΦΟΡΙΣ. μθ'

Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν.

Aphoris. 49.

*Aqua inter cutem laborãs, si à tussi habeatur, desperatus est.*

ΑΦΟΡΙΣ. ν'

Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει. τέμνειν δὲ τὰς εἴσω.

Aphoris. 50.

*Vrinæ stillicidium, & mingendi difficultatem uini potio & uenæ sectio soluit, incidere autem interiores.*

ΑΦΟΡΙΣ. να'

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγενόμενον, ἀγαθόν, ἔξω γὰρ τρέπεται τὸ νόσημα.

Aphoris. 51.

*Ab angina habito, tumor, & rubor in pectore superueniens, bonum: extra enim uertitur morbus.*

ΑΦΟΡΙΣ. νβ'

Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται, ἢν δὲ ταύτας διαφύγωσιν ὑγιέες γίνονται.

Aphoris. 52.

*Quibus cerebrum sphacelatũ, id est, corruptũ est, in tribus diebus pereũt, si uerò hos euaserint, sani fiunt.*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 136 sur 669

©BIU Santé



### ΑΦΟΡΙΣ. νγ΄

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὁ ὑπερχεῖται γὰρ ἀὴρ ἐννεὼν ἔξω· ψοφεῖ δέ, ὅτι διὰ στενοῦ αὐτῷ ἡ διέξοδός ἐστιν.

### ΑΦΟΡΙΣ. νδ΄

Ὁκόσοισιν ἧπαρ περιωδυνέουσι, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὴν ὀδύνην.

### ΑΦΟΡΙΣ. νε΄

Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, τουτέοισι ξυμφέρει ἔαρι φλεβοτομεῖσθαι.

### ΑΦΟΡ. νϛ΄

Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς

### Aphoriſ. 53.

Sternutamentũ fit ex capite, calefacto cerebro, aut humectato, eò quod in capite inani. Aër enim intus contentus extra erũpit, ſonat autem, quoniam per an guſtum, ipſi eſt exitus.

### Aphoriſ. 54.

Quicunq; hepar circundolent, his febris ſuperueniens ſoluit dolorem.

### Aphoriſ. 55.

Quibus à uenis ſanguinem mittere cõfert, his uere uenam oportet ſecare.

### Aphoriſ. 56.

QVIBVS inter uentriculum & ſeptum

©BIU Santé


γαστρὸς φλέγμα ἀποκλείεται, καὶ ὀδύνην παρέχει οὐκ ἔχον διέξοδον οὐδὲ εἰς οὐδετέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς νούσου.

ΑΦΟΡΙΣ. νζʹ

* Ὁκόσοισι δὲ τὸ ἧπαρ ὕδατος πλησθὲν, εἰς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπίπλαται, καὶ ἀποθνήσκουσιν.

ΑΦΟΡΙΣ. νηʹ

* Ἀλύκην, χάσμην, φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος λύει τὴν νοῦσον.

ΑΦΟΡΙΣ. νθʹ

* Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ

*ptũ pituita reposita est, & dolorem affert non habens exitum, neq; ad alterum uentrẽ: his per uenas ad uesicam pituita uersa soluitur morbus.*

Aphoris. 57.

* *Quibus hepar aqua plenum in omẽtum eruperit, his uẽter aqua repletur, & moriũtur.*

Aphoris. 58.

* *Halycæ, id est, anxietudo, oscitatio, horror, uinũ æquale æquali potum, soluit ægritudinem.*

Aphoris. 59.

* *Quibus in urinario meatu tubercula fiunt,*

©BIU Santé



ἐξήθρῃ φύματα γίνονται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

ΑΦΟΡΙΣ. ξ

Ὁκόσοισι δ' ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα.

ΑΦΟΡΙΣ. ξα'

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι λιμὸν ἐμποιέειν, λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

ΑΦΟΡΙΣ. ξβ'

Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι, πνὶξ ἐξαίφνης ἐπιγένηται, καὶ καταπίνειν εὐκόλως μὴ δύνηται,

unt, his suppuratione facta, & eruptione, soluitur dolor.

Aphoris. 60.

Quibus cerebrum aliqua ex causa concussum fuerit, necesse est statim mutos fieri.

Aphoris. 61.

Corporibus carnes habentibus humidas, famem, adhibere conuenit: fames enim corpora siccat.

Aphoris. 62

Si a febre habito tumore nō existente in faucibus, strangulatio repēte superueniat, & nisi uix deuorare non poßit,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 139 sur 669

©BIU Santé


νηται, ἀλλὰ μόλις, θανάσιμον.

ΑΦΟΡΙΣ. ξγ'

⁂ Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὁ τράχηλος ἐπιστραφῇ καὶ καταπίνειν μὴ δύνηται οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον.

ΑΦΟΡΙΣ. ξδ'

⁂ Ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ καὶ τὸ σῶμα καταψύχηται καὶ πάλιν θερμαίνηται ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νόσου σημαίνει.

ΑΦΟΡΙΣ. ξε'

⁂ Ἱδρὼς πολὺς θερμὸς ἢ ψυχρὸς ῥέων αἰεὶ σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ, ἀπά-

γειν

*poßit, letale.*

Aphoriſ. 63.

⁂ *Si febricitanti collum peruertitur, ut deuorare non poßit ſine ullo colli tumore, exitioſum eſt.*

Aphoriſ. 64.

⁂ *Vbi in toto corpore mutationes & corpus refrigeratur, et rurſus calefit, aut colorem alium ex alio cõmutat, longitudo morbi ſignificatur.*

Aphoriſ. 65.

⁂ *Sudor multus, calidus, uel frig. ſemp fluẽs,*

*tumorem*

©BIU Santé



γὴν οὖν χρὴ, τὸν μὲν ἰσχυρῶν ἄνωθεν, τὸν δὲ ἀσθενεῖ κάτωθεν.

### ΑΦΟΡΙΣ. ξς'

Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες ἢν ἰσχυρότεροι διὰ τρίτης γένωνται, ἐπικίνδυνοι, ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

### ΑΦΟΡΙΣ. ξζ'

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

### ΑΦΟΡΙΣ. ξη'

Ὁκόσοισι φύματα μακρὰ, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

ΑΦΟΡ.

humorem abduci, robusto quidem suprà, debili uerò infrà significat.

### Aphoris. 66.

Febres quæcunq; non intermittentes, tertio die uehementiores fiunt, periculosæ. Quocunq; autem modo intermiserint, securitatẽ inesse significatur.

### Aphoris. 67.

Quibus febres longæ, his uel uomicæ uel in articulos dolores decumbunt.

### Aphoris. 68.

Quibus uomicæ diutinæ aut in articulos dolores ex febre decũbunt, hi cibo pleniore utuntur.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. ξθʹ

* Ἤν τις πυρέσσοντι τροφὴν διδῷ, ἣν ὑγιεῖ, τῷ μὲν ὑγιαίνοντι, ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος.

ΑΦΟΡΙΣ. οʹ

* Τὰ διὰ τῆς κύστιος διαχωρέοντα, ὁρᾶν δεῖ, εἰ οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται, τὰ ἥκιστα οὖν ὅμοια τούτοισι, ταῦτα νοσωδέστερα, τὰ δ᾽ ὅμοια τοῖσιν ὑγιαίνουσι ἥκιστα νοσερά.

ΑΦΟΡΙΣ. οαʹ

* Καὶ οἷσι τὰ ὑποχωρήματα ἢν ἐάσης στῆναι, καὶ μὴ κινήσης ὑφίσταται οἷον ξύσματα, καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος, γίνεται,

Aphoris. 69.

* Si quis cibum febricitanti dederit, ut sano robur, sic laboranti morbus.

Aphoris. 70.

* Quæ per uesicam excernuntur, inspicere oportet, si talia qualia sanis excernuntur. Quæ igitur minimè similia sunt his, hæc morbosiora. Quæ uerò sunt sanis similia, hæc minimè morbosa.

Aphoris. 71.

* Et quibus deiectiones, si stare permiseris, & non moueris, ueluti strigmēta subsistūt: et si pauca, paucus est morbus,

& si

©BIU Santé



νέται, ἢν δὲ πολλὰ πολλὸν, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην, ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

ΑΦΟΡΙΣ. οβ΄

❀ Ὁκόσοισιν ἂν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς μελαίνης ἐστὶν, ἢν πλείονα, πλείονος, ἢν ἐλάσσω, ἐλάσσονος.

ΑΦΟΡΙΣ. ογ΄

❀ Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι, τοῖσι μὴ διαλείπουσι πελιδναὶ καὶ αἱματώδεες καὶ δυσώδεες πᾶσαι κακαὶ, ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ

& si multa, multus: his confert alui purgatio. quod si aluo non purgata dederis sorbitiones, quanto plures dederis, tanto magis nocebis.

## Aphoris. 72.

❀ Quibuscunq; inferius cruda deijciuntur ab atra bile sunt, si plura pluri, si pauciora pauciori.

## Aphoris. 73.

❀ Excreationes in febrib. nõ intermittẽtib. liuidæ, sanguineæ, biliosæ, & fœtidæ oẽs malæ. Cũ uerò benè excernantur,

©BIU Santé



ἀγαθαί, καὶ κατὰ κοιλίην καὶ κύστιν· καὶ ὅκου ἂν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένῳ, κακόν.

ΑΦΟΡΙΣ. οδ'

❋ Τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν, κἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην, ἢν δὲ κάτω εὔροα ποιέειν, ὑγραίνειν τὴν κοιλίην.

ΑΦΟΡΙΣ. οε'

❋ Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν.

ΑΦΟΡΙΣ. ος'

❋ Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δ' εἴσω καίηται,

καὶ

huntur, bonũ est, et per uentrem, & per uesicã; & ubi aliquid secedens steterit non purgatum, malum.

Aphoris. 74.

❋ Corpora oportet ubi quis purgare uoluerit fluida facere, & si supra, sistere, aluum, si uerò infrà, humectare.

Aphoris. 75.

❋ Somnus, uigiliæ; utraq; modum excedentia, morbus.

Aphoris. 76.

❋ In febribus nõ intermittẽtibus, si exteriora friget, interiora uruntur.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 144 sur 669

©BIU Santé



καὶ δίψα ἔχῃ, θανάσιμον.

ΑΦΟΡΙΣ. οζ'

⁂ Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν, ὅ τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

ΑΦΟΡΙΣ. οη'

⁂ Ἐπὶ λευκῷ φλέγματι, ὕδρωψ ἐπιγίνεται. ΑΦΟΡ. οθ'

⁂ Ἐπὶ διαῤῥοίῃ, δυσεντερίη.

ΑΦΟΡΙΣ. π'

⁂ Ἐπὶ δυσεντερίῃ, λειεντερίη ἐπιγίνεται.

ΑΦΟΡΙΣ. πα'

⁂ Ἐπὶ σφακελισμῷ, ἀπόστασις ὀστέου.

ΑΦΟΡ.

*tur, & febris habeat, letale.* Aphoris. 77.

⁂ *In febre non intermittente si labrum, aut nasus, aut oculus, aut supercilium peruertitur, si nō uideat, si non audiat, & iam debilis sit, quicquid horum fuerit, mors prope est.*

Aphoris. 78.

⁂ *A pituita alba, aqua inter cutē superuenit.*

Aphoris. 78.

⁂ *Ab alui profluuio difficultas intestinorū.*

Aphoris. 80.

⁂ *A difficultate intestinorū, leuitas intestinorū superuenit.*

Aphoris. 81.

⁂ *A corruptione, abscessus ossis.*

*Aphor.*

©BIU Santé



## ΑΦΟΡΙΣ. πβʹ

Ἐπὶ αἵματος ἐμέτῳ, φθόη, καὶ πύου κάθαρσις ἄνω, ἐπὶ φθόῃ, ῥεῦμα ἐκ τῆς κεφαλῆς, ἐπὶ τῷ ῥεύματι διάῤῥοια, ἐπὶ διαῤῥοίῃ σχέσις τῆς ἄνω καθάρσιος, ἐπὶ τῇ διασχέσει θάνατος.

## Aphoris. 82.

A sanguinis uomitu, tabes, & puris purgatio supra. In tabe fluctio ex capite. In fluctione alui profluuium. In alui profluuio adstrictio purgationis superioris. In adstrictione mors.

## ΑΦΟΡΙΣ. πγʹ

Ἐπὶ αἵματος πτύσει, πύου πτύσις καὶ ῥύσις, ἐπὴν δὲ τὸ σίαλον ἴσχηται, ἀποθνήσκουσιν.

## Aphoris. 83.

A sanguinis sputo, puris sputum, & liberatio, cum uero saliua retinetur, moriuntur.

## ΑΦΟΡ. πδʹ

Ὁκοῖα ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρεῖ, ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν που ἄλλῃ τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα, ἢν

## Aphoris. 84.

Qualia fuerint uesica, aut alui excrementa, et ex carnibus et sicubi alibi a natura corpus exierit,

©BIU Santé



ἢν ὀλίγον, ὀλίγη ἡ νοῦσος γίνεται, ἢν πολὺ δὲ, πολλή, ἢν πάνυ πολλή, θανάσιμον τὸ γινόμενον. ΑΦΟΡ. πε΄

rit, si parum, paucus est morbus: si multum, multus: si ualde multum, letale est.

ΑΦΟΡ. πε΄

Aphoris. 85.

❦ Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται, ἧσσον γὰρ κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

❦ Quicunq; supra quadragesimũ annũ insani fiunt, nõ admodum cõualescũt. Minus enim periclitãtur, quibus prius naturæ & ætati morbus fuerit.

ΑΦΟΡΙΣ. πϛ΄

Aphoris. 86.

❦ Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν, ὁκόσοισι δὲ ἄνευ προαιρέσιος, κακόν. ΑΦΟΡΙΣ. πζ΄

❦ Quibus in ægritudine oculi pro arbitrio illachrymãtur, bonum. quibus autem non ex arbitrio, malum.

Aphoris. 87.

❦ Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν

❦ Quib. in febrib. quartanis.

©BIU Santé



ταίουσιν ἐοῦσιν, αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

ΑΦΟΡΙΣ. πη'

* Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι.

ΑΦΟΡΙΣ. πθ'

* Οἱ ὠθούμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοὶ καὶ κρουνοὶ, καὶ ψυχροὶ σφόδρα καὶ πολλοί, ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου.

ΑΦΟΡΙΣ. ϟ'

* Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορή, κακόν.

ΑΦΟΡ.

tanis, sanguis ex naribus fluxerit, prauum.

Aphoris. 88.

* Sudores indecretorijs diebus uehementes & ueloces facti, periculosi.

Aphoris. 89.

* Expulsi à frōte stillarum instar & scaturiginum, & frigidi uehementer & multi sunt. Sudorem enim eiuscemodi necesse est uiolenter & cum labore summo, & elisione diuturna exire.

Aphoris. 90.

* In morbo diutino uentris depreßio, malo est.

Aphor.

©BIU Santé



ΑΦΟΡΙΣ. ϟα'

Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται, ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται, ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

Aphor. 91.

*Quæcunq; medicamētis non curantur, ferrū curat, quæ ferro nō curātur, ignis curat, quæ igne nō curātur, ea existimare oportet immedicabilia.*

# ΙΠΠΟΚΡΑΤΟΥΣ Κῴου Ἀφορισμῶν βιβλίον ὄγδοον.

ΑΦΟΡΙΣ. α'

Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται· ἧσσον γὰρ κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος

# HIPPOCRATIS Coi Aphorismorum Liber VIII.

Aphoris. 1.

*QVI supra q̃dragintа annos phrenetici fiunt, non omnino sanantur: minus enim periclitantur, quorum*

©BIU Santé



φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ.

ΑΦΟΡΙΣ. β'

Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν, ὁκόσοισι δὲ ἄνευ προαιρέσεως, κακόν.

ΑΦΟΡ. γ'

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν, αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν.

ΑΦΟΡΙΣ. δ'

Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γενόμενοι σφοδροὶ καὶ ταχέες, ἐπικίνδυνοι, οἱ ὠθούμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοὶ καὶ κρουνοὶ καὶ ψυχροὶ σφόδρα καὶ πολλοὶ

& naturæ et ætati morbus sit conueniens.

Aphoris. 2.

Quibuscunque in morbis oculi ex causa illachrymant, bonũ: quibuscũq; autem sine causa, malum.

Aphoris. 3.

Quibuscunque in quartanis febribus sanguis è naribus defluxerit, malum est.

Aphoris. 4.

Sudores in diebus iudicatorijs, uehementes & celeres si fiat, periculosi: præsertim qui ex fronte tanquã guttæ et fistulæ saliẽtes pelluntur, frigidiq; ualde atq; multi.

©BIU Santé



πολλοί, ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα πορεύεσθαι μετὰ βίης καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου.

ΑΦΟΡΙΣ. εʹ

Ἐπὶ χρονίῳ νοσήματι κοιλίης καταφορὴ, κακόν.

ΑΦΟΡΙΣ. ϛʹ

Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται. ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται, ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

ΑΦΟΡΙΣ. μζʹ

Φθίσιες μάλιστα γίγνονται ἀπὸ ὀκτωκαίδεκα ἐτῶν μέχρι τριήκοντα καὶ πέντε.

*multi, necesse est enim talem sudorē, multa ui & labore & longa expreßione exire.*

Aphoris. 5.

*Post longum morbum, alui defluxio, malum. Vel, In morbo diuturno fluxa aluus, malum.*

Aphoris. 6.

*Quoscunq; morbos medicamenta nō sanāt, ferrum sanat: quos ferrum non sanat, ignis sanat: quos uerò ignis nō sanat, hos sanari nō posse putato, uel hos incurabiles existimari oportet.*

Aphor. 7.

*Tabifici morbi, uel tabes, à decimooctauo anno usq; ad 35. potißimum gignuntur.*

©BIU Santé



ΑΦΟΡΙΣ. η´

Τὰ δὲ κατὰ φύσιν γιγνόμενα κατὰ φθίσιν, πάντα μὲν ἰσχυρὰ, τὰ δὲ καὶ θανατώδεα. δεύτερον ἢν μὲν ἐν τῇ ὥρῃ νόσει ἀντὴ ἡ ὥρη ξυμμαχεῖ τῇ νούσῳ, οἷον καύσῳ θέρος, ὑδρωπικῷ χειμὼν ἐπικρατεῖ γὰρ τὸ φυσικὸν, φοβερώτερον ἢ σπλῆνι.

Aphoris. 8.

Quæ secundũ naturam ad phtisin uergunt, omnia quidem uehementia. Quædã etiã lethalia. Secundum artẽ erat morboso in tempore: quando ipsa hora morbo opitulatur. Sicuti ardenti febri æstas, hydropico hyems: superuincit enim quod est à natura: idq; spleni plus affert timoris.

ΑΦΟΡΙΣ. θ´

Γλῶσσα μέλαινα καὶ αἱματώδης, ὅταν τουτέων ἀπῇ τῶν σημείον, καὶ τὸ πένθος ἀσθενέστερον δηλοῖ.

Aphoris. 9.

Lingua nigra atq; cruenta, quum quid horum signorũ abest, malum ualidum nõ est, & imbecilliorẽ luctum significat.

©BIU Santé



ΑΦΟΡΙΣ. ι'

* Ταῦτα μὲν οὖν ἐν τοῖσι πυρετοῖσιν ὀξέσι σημειοῦσθαι χρὴ, ὁπότε μέλλει ἀποθνήσκειν καὶ ὁπότε σωθήσεσθαι.

Aphoriſ. 10.

* Hæc quidem in acutis febribus obſeruētur, ut ſi quis moriturus uel euaſurus ſit, dignoſcamus.

ΑΦΟΡΙΣ. ια'

* Ὄρχις δέξιος ψυχόμενος, καὶ ἀνασπώμενος, θανατῶδες.

Aphoriſ. 11.

* Teſtis dexter frigidus conuulſusq́; mortiferum eſt.

ΑΦΟΡΙΣ. ιβ'

* Ὄνυχες μελαινόμενοι, καὶ δάκτυλοι ποδῶν, ψυχροὶ καὶ μέλανες καὶ ἐκκύπτοντες, ἐγγὺς τὸν θάνατον δηλοῦσιν.

Aphoriſ. 12.

* Vngues nigri, digiti pedum frigidi, nigri demiſsi uel proclinati, mortem proximam eſſe portendunt.

ΑΦΟΡΙΣ. ιγ'

* Σημαίνουσιν καὶ τὰ ἄκρα τῶν δακτύλων.

Aphoriſ. 12.

* Quod etiam digitorum extrema frigida præ ſe ferunt.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 153 sur 669

©BIU Santé



ΑΦΟΡΙΣ. ιδ'

Καὶ χείλη πελιδνὰ, ἢ, καὶ ἀπολελυμένα, καὶ ἐξεστραμμένα, καὶ ψυχρὰ θανατώδεα.

Aphoris. 14.

Et labia liuida, resoluta, inuersa, frigida si sint, mortiferum est.

ΑΦΟΡΙΣ. ιε'

Καὶ σκοτοδινιῶν, καὶ ἀποστρεφόμενος, καὶ ὕπνῳ καὶ καύματι πολλῷ κατεχόμενος, ἀνέλπιστος.

Aphoris. 15.

Si oculi caligant, uel lucẽ auersantur, qui somno multo et æstu detinetur, extra spem est.

ΑΟΡΙΣ. ιϛ'

Καὶ πολυστέων ἀτρέμα, καὶ ἀγνοέων, καὶ μὴ ἢ ἀκούων, μὴ ἢ ξυνιὴς, θανατώδης.

Aphoris. 16.

Si quis sensim rabie quadam efferatur, si quis non cognoscit, non audit, nõ intelligit, mortiferum est.

ΑΦΟΡΙΣ. ιζ'

Μέλλουσιν ἀποθνήσκειν ταῦτα σαφέστερα γίγνεται, καὶ αἱ κοιλίαι ἐπαείρονται καὶ φυσῶνται.

Aphoris. 17.

Paulò post morituris signa hæc sunt clara magis, uentriculi si tolluntur, tumescunt & inflantur.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 154 sur 669

## ΑΦΟΡΙΣ. ιη'

* Ὅρος δὲ τοῦ θανάτου, ἐὰν τὸ τῆς ψυχῆς θερμὸν ἐπανέλθῃ ὑπὲρ τοῦ ὀμφαλοῦ εἰς τὸν ἄνω τῶν φρενῶν τόπον, καὶ συγκαυθῇ τὸ ὑγρὸν ἅπαν ἐπειδὰν ὁ πνεύμων, καὶ ἡ καρδία τὴν ἰκμάδα ἀποβάλλωσι τοῦ θερμοῦ ἀθροοῦντος ἐν τοῖσιν θανατώδεσι τόποις, ἀποπνέει ἀθρόον τὸ πνεῦμα τοῦ θερμοῦ, ὅθεν περ συνέστη τὸ ὅλον εἰς τὸ ὅλον. πάλιν τὸ μὲν διὰ τῶν σαρκῶν, τὸ δὲ διὰ τῶν ἐν κεφαλῇ ἀναπνοῶν, ὅθεν τὸ ζῆν καλοῦμεν, ἀπολείπουσα ἡ ψυχὴ τὸ τοῦ σώματος σκῆνος, καὶ τὸ ψυχρὸν, καὶ τὸ θνητὸν

## Aphoris. 18.

* *Terminus uero mortis hic est, quũ animæ calor supra umbilicum præcordiaq; recurrit & ascēdit, ac omne humidũ humorem exurit & siccat, quũ autem cor pulmoq; humiditatē caloris collecti mortiferis in locis sentiunt, totum caloris spiritum efflant, unde totum in toto consistit. præterea quidem partim per carnē, partim per spiracula capitis spirant, quod uiuere dicimus: corporisq; capsulam et alueũ animæ frigidum mortuumq;.*

©BIU Santé



τὸ μὲν εἴδωλον ἅμα καὶ χολῇ καὶ αἵματι καὶ φλέγματι καὶ σαρκὶ παρέδωκεν.

Τέλος.

# ΙΠΠΟΚΡΑΤΟΥΣ

Κώου προγνωστικὸν βιβλίον πρῶτον.

## ΠΡΟΓ. α΄

Τὸν ἰητρὸν, δοκέει μοι ἄριστον εἶναι, πρόνοιαν ἐπιτηδεύειν.

## ΠΡΟΓ. β΄

⁂ Προγινώσκων γὰρ καὶ προλέγων τὰ

ῥὰ

---

und simulacrum relinquit, sanguiniq́; bili, & pituitæ, & carni concedit.

FINIS.

# HIPPOCRATIS

Coi præsagiorum liber primus, Guilielmo Copo Basilensi interprete.

## Præsag. 1.

Nihil perinde medico cōducibile censeo, quàm ut prudētem se præstare laboret.

## Presag. 2.

⁂ SI ENIM Apud ægros, præterita,

præsentia

©BIU Santé



ρὰ πᾶσι νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες, ἐκδιηγεύμενος, πιστεύοιτ' ἂν μᾶλλον γινώσκειν, τὰ τῶν νοσεόντων πρήγματα.

### ΠΡΟΓ. γ'

Ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωυτοὺς τῷ ἰητρῷ.

### ΠΡΟΓ. Δ'

Τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα τῶν παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας, ἀδύνατον. τοῦτο γὰρ τοῦ προγινώσκειν

præsentia, & futura, atque ea quæ ipsi inter narrandũ omiserũt noverit, prædixeritq́; nihil, quod ægris usui fuerit, ignorare putabitur.

### Presag. 3.

Quo fit ut audentius homines medico se committant.

### Præsag. 4.

Etenim perquã salutarem adhibebit curationem, si futuras affectiões præuiderit. Nam fieri non potest, ut omnes ægros sanitati restituat, quanquam hoc

multo

©BIU Santé



προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, ἐκεῖ ἤπερ ἂν ἦν.

ΠΡΟΓ. ε´

⁂ Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν, οἱ μὲν πρὶν καλέσαι τὸν ἰητρὸν ὑπὸ ἰσχύος τῆς νόσου. οἱ δὲ, καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν. οἱ μὲν ἡμέρην μίην ζήσαντες. οἱ δὲ, ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι.

ΠΡΟΓ. ς´

⁂ Γνῶντα οὖν χρὴ τῶν παθέων τῶν τοιούτων τὰς φύσιας, ὁκόσον ὑπὲρ δύναμίν εἰσι τῶν σωμάτων.

Προγ.

multo præstatius erat quã futura prænoscere.

Præsag. 5.

⁂ Igitur quum homines intercant, alij quidẽ ob morbi uehemẽtiam, antea quã uocetur medicus: nonnulli uerò, uocato licet medico, repẽte moriuntur, ac alij unico dũtaxat die, alij paulò lõgiori spacio uitam extendunt, prius quàm medicus arte sua singulis morbis occurrendo resistat.

Præsag. 6.

⁂ Proinde harũ affectionum naturas noscere oportet, quantum uidelicet corporis uiribus sint superiores.

Præsag.

©BIU Santé



### ΠΡΟΓ. ζʹ

Ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν. οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτ' ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλείονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη.

### Præsag. 7.

Quin etiam si diuinum quidpiam morbis inest, huius quoq; prouidentiam perdiscere: sic enim optimo iure, & admirabilem & bonum se præstabit medicum, quos enim superstites fore cognouerit, eos rectius quoque seruabit, utpote ex multo tempore singula cõsulte perpendens. Itaq; morituros, uicturosq; præsentiens, atque denuncians, omnẽ prorsus calumniam uitabit.

## NOTAE EX FACIE.

### ΠΡΟΓ. ηʹ

Σκέπτεσθαι δὲ χρὴ ὧδε. ἐν τοῖσιν ὀξέσι νοσήμασι, πρῶτον μὲν

### Præsag. 8.

In acutis morbis sic cõsiderare oportet, in primis quidem ægri

©BIU Santé



τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι, τοῖσι τῶν ὑγιαινόντων. μάλιστα δὲ εἰ αὐτὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη ἄριστον, τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον. εἴη δ' ἂν τὸ τοιόνδε.

ΠΡΟΓ. θ.

Ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα, ψυχρὰ καὶ ξυνεσταλμένα. καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι.

ΠΡΟΓ. ι.

Καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον, σκληρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν. καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ καὶ μέλαν ἐόν, καὶ πελιόν, ἢ μολιβδῶδες.

faciem, an sanorũ faciebus, maximè uerò suæ ipsius, similis sit: ea enim optima cẽsenda est. quæ uerò maximo discrimine ab hac similitudine recedit, grauißimum periculum portendit, cuius hæ sunt notæ.

Prȩsag. 9.

Nares acutæ, oculi cõcaui, collapsa tẽpora, frigidæ contractæq; aures, & imis partibus leniter uersæ.

Præsag. 10.

Cutis circa frontem dura, intenta et arida: totius faciei color aut niger, aut pallidus, aut liuens, aut plũbeus.

ΠΡΟΓ

©BIU Santé



ΠΡΟΓ. ια΄

※ Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ, τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνησεν ὤνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ᾖ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. κἢν μέν τι τουτέων ὁμολογῇ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα, ἐν ἡμέρῃ τε καὶ νυκτὶ ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ᾖ. ἢν δὲ μηδὲν τουτέων φῆσιν εἶναι, μὴ δ᾽ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα τοῦ θανάτου.

Præsag. 11.

※ Quod si inter morbi initia huiusmodi facies appareat, neque ex alijs indicijs coniectura sumi poßit, inquirendũ est, an uigilia, aut uẽtris uehemens resolutio, aut inedia præcesserit: quorum si quidpiam deprehenderis, nihil periculi timendũ est. atqui si ob huiusmodi causas, hæc faciei species orta est, una die, nocteq; finitur: si uerò eas præceßisse æger negauerit, diutiusq; iam dicto tempore hæc forma durauerit, scire licet eũ morti proximum esse.

©BIU Santé



ΠΡΟΓ. ιβʹ

Ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα. καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, τά τε ἐν τῷ σώματι.

Præſag. 12.

Quod ſi in uetere morbo iam triduo, quatriduóue talis eſt, inquirẽda ſunt ea ſigna, quæ ſupra ꝓpoſui, ad hæc, reliqua quoque indicia, non ſolum ex facie, uerumetiã ex reliquis corporis partibus perpendenda ſunt, præcipuè ex oculis.

NOTAE AB OCVLIS.

ΠΡΟΓ. ιγ.

Καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ θάτερος θατέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιὰ βλέφαρα, ἢ φλέβια

Præſag. 13.

Nam ſi lumen refugiũt, & illachrymãt, id'que præter uoluntatem, aut peruertuntur, alterque ex ijs minor eſt, & quæ in ipſis alba eſſe debent, rubeſcunt, aut genæ pallent, atq; in ijſdem uenulæ nigricant,

©BIU Santé



βια μέλανα ἐν αὐτέοισιν ἔχωσιν. ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας. ἢ καὶ ἐναιωρεύμενοι. ἢ ἐξίσχοντες. ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς. ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ἧ, ταῦτα πάντα κακὰ νομίζειν καὶ ὀλέτρια εἶναι.

ΠΡΟΓ. ιδʹ

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμέ-

νῳ

gricant, aut lippitudo innatans tandem angulis inhæret, aut frequẽs eſt oculorũ motus, iiſq; aut uehemẽter ſubſederunt, aut facti tumidiores ſunt, fueritq; aſpectus horridus obſcurusque, atque uniuerſæ faciei color mutatus: hæc omnia ſigna mala, pernicioſaq; putanda ſunt.

Præſag. 14.

Quinetiam oculorum per ſomnum ſuſpectiones obſeruandæ ſunt. Vbi enim palpebræ nõ cõmittũtur, ſed inter has ex albo oculorũ aliqd apparet, neq; id fluens aluus, aut medicamẽti potio præceſſit, præſertim ſi quis nõ



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 163 sur 669

©BIU Santé



νω οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες λίαν.

sic dormire cōsueuerit, prauum hoc signum, letaleq; admodum est.

ΠΡΟΓ. ιε'

Præsag. 15.

* Ἢν δὲ καμπύλον ἢ ῥικνὸν γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα θανάτου. Θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

* Si palpebra, aut labrū, aut nasus retorquetur, aut pallet, aut liuore inficitur, accedente quopiā reliquorū signorum ægrum morti proximū esse haud dubitandum est. Mortem etiam portendunt labra resoluta, suspēsa, frigida, cādicantia.

## A DECVBITV NOTAE.

ΠΡΟΓ. ις'

Præsag. 16.

* Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν. Καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα.

* Deprehendendus est æger in dextrū sinistrum' ue latus cubans, brachijs, ceruice, & cruribus paulū reductis, ac uniuerso

©BIU Santé



καὶ ξύμπαν σῶμα, ὑ-
γρὸν κείμενον. οὕτω γὰρ
καὶ οἱ πλεῖστοι τῶν ὑγιαι-
νόντων κατακλίνονται.
ἄρισται δέ εἰσι τῶν κα-
τακλίσεων, αἱ ὁμοιόται
τῇσι τῶν ὑγιαινόντων.

ΠΡΟΓ. ιζ'

❊ Ὕπτιον δὲ κεῖσθαι
καὶ τὰς χεῖρας, καὶ τὸν
τράχηλον, καὶ τὰ σκέ-
λεα ἐκτεταμένα ἔχον-
τα, ἧσσον ἀγαθόν.

ΠΡΟΓ. ιη'

❊ Εἰ δὲ καὶ προπε-
τὴς γένοιτο, καὶ κα-
ταῤῥέοι ἀπὸ τῆς κλίνης
ἐπὶ πόδας, δεινότε-
ρόν ἐστιν.

ΠΡΟΓ. ιθ'

❊ Εἰ δὲ καὶ γυμνοὺς
τοὺς πόδας εὑρίσκοι-
το ἔχων, μὴ θερμοὺς κάρ-

uniuerso corpore molli-
ter affecto, qui ferè sani
quoque iacentis habitus
est, quippe quum opti-
mus sit ille decubitus,
qui à sanorũ consuetu-
dine non uariat.

Presag. 17.

❊ Sed non laudatur
decubitus, quo brachia,
ceruix, & crura exten-
duntur.

Presag. 18.

❊ Id uerò grauius est,
si seipsum, æger cõtine-
re non ualens, ad pedes
subinde delabitur.

Præsag. 19.

❊ VBI PEDES
nudat, neque ijs calor

τα ἐόντας, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα καὶ γυμνὰ, κακόν. ἀλυσμὸν γὰρ σημαίνει.

subest, ubi brachia, ceruicem, & crura inæquabiliter dispergit ac nudat, mali morbi, angorisq; signum est.

ΠΡΟΓ. κ´

Præsag. 20.

Θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεί.

Perniciosum est, ubi hians quis assiduè dormit.

ΠΡΟΓ. κα´

Præsag. 21.

Καὶ τὰ σκέλεα ὕπτιον κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα.

Aut ubi supinus iacet, cruribus uehementer contortis, complicatisq;.

ΠΡΟΓ. κβ´

Præsag. 22.

Ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην τινὰ σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

Si pronus iaceat is, qui per bonā ualetudinem sic dormire non consueuit: aut delirium, aut uentris dolorē portendit.

Προγ. Præsag.

©BIU Santé

©BIU Santé



ΠΡΟΓ. κγ΄

Praesag. 23.

✻ Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖς ὀξέσι νουσήμασι. κάκιστον δὲ ἐν τοῖσι περιπλευμονικοῖσιν.

✻ Vbi residere uult æger in ipso morbi uigore, malum quidem indicium est in omnibus acutis affectibus, sed longe pessimũ pulmonibus laborantibus.

## A STRIDORE DENTIVM.

ΠΡΟΓ. κδ΄

Praesag. 24.

✻ Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες, ἀλλὰ προλέγειν χρὴ ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιῇ, ὀλέθριον γίνεται κάρτα ἤδη.

✻ Stridor dentiũ per febres, præter consuetudinem à teneris contractã, insaniã significat et mortẽ, atqui ab utrisq; futurũ periculũ denunciãdum est. Si uerò iam deliranti, stridor quoq; accedit, uix æque perniciosam inuenies notam.

## AB VLCERE.

ΠΡΟΓ. κε΄

Praesag. 25.

✻ Ἕλκος δὲ ἤν τε προγεγονὸς τύχῃ ἔχων

✻ Vlcus, siue ante,

©BIU Santé



ἤν τε καὶ ἐν τῷ νούσῳ γένηται, καταμανθάνειν δεῖ. ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου, πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

*siue in ipso morbo natũ est, obseruari debet: nã si moriturus est homo, aridũ & liuẽs, aut pallidũ, ante mortẽ apparet,*

*A gesticulatione manuum.*

ΠΡΟΓ. κϛ′

※ Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκω. ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσιν, ἢ ἐν κεφαλαλγίῃσι, πρὸ τοῦ προσώπου φερομένας καὶ θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογούσας, καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.

Præsag. 26.

※ *Ex manuum latione huiuscemodi notas perpende, in acutis febribus, in peripneumonia, phrenetide, capitis dolore, si quis eas faciei admouerit, ut inde quidpiam superuacue uenetur, aut festucas carpat, aut à ueste floccos, aut à pariete paleas auellat: omnes hæ malæ letalesq; sunt.*

## A SPIRATIONE.

ΠΡΟΓ. κζ'

※ Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει ἢ φλεγμονὴν, ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται.

Præsag. 27.

※ *Spiritus frequens, aut doloris, aut doloris, aut inflãmationis in partibus septo trãsuerso superioribus, indiciũ est. Magnus, et ex lõgis interuallis, deliriũ declarat. Frigidus ex narib. & ore prodiens, letalis admodũ est.*

ΠΡΟΓ. κη'

※ Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασιν, ὅσα ξὺν πυρετοῖσι ἐστὶ, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

Præs. 28.

※ *Facilis spiratio, in acutus morbis, quibus febris copulatur, quiq; intra quadraginta dies finiri solent, magnũ habet ad salutẽ momentũ.*

## A SVDORE.

ΠΡΟΓ. κθ'

※ Οἱ δὲ ἱδρῶτες,

Præsag. 29.

※ *Sudores, saluberri*

©BIU Santé


ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖς ὀξέσι νουσήμασιν, ὁκόσοι ἐν ἡμέρῃσί τε κρισίμοισι γίνονται, καὶ τελείως τὸν πυρετὸν ἀπαλλάττουσιν. ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. οἳ δ' ἂν μὴ τοιοῦτόν τι ἐργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ, οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλήν τε καὶ τὸ πρόσωπον γινόμενοι καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι. ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου.

mi cẽsentur, in omnibus acutis morbis, si in diebus decretorijs oriãtur, febrimq; finiant, aut ubi toto corpore æqualiter insudante, æger morbũ facilius sustinere uidetur. Contrà inutiles, qui id efficere non ualent. Peßimi omniũ sunt frigidi, & ubi caput duntaxat aut facies, aut ceruix insudat: quippe qui in acuta quidem febre, mortem: in mitiore uerò morbum diuturnum fore significant.

## ΠΡΟΓ. λ'

❦ Καὶ οἱ κατὰ πᾶν τὸ σῶ-

## Præsag. 30.

❦ Et qui per totum corpus

©BIU Santé



τὸ σῶμα ὡσαύτως γινόμενοι περὶ τὴν κεφαλὴν, οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι, πονηροί, οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες, ἀγαθοί. κατανοεῖν δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν διὰ ἔκλυσιν σωμάτων, οἱ δὲ, διὰ συντονίην φλεγμονῆς.

corpus eodē modo fiūt qui circa caput, qui autē Milij instar et circa collum duntaxat fiunt, mali: qui uerò guttatim & exhalando, boni. Considerare autē oportet sudorē in uniuersum. Alij enim propter corporū exolutionē, alij propter inflāmationis uehementiam fiunt.

## A PRAECORDIIS.

### ΠΡΟΓ. λα'

※ Ὑποχόνδριον δὲ, ἄριστον μὲν, ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν. καὶ τὰ δεξιὰ καὶ ἐπ' ἀριστερά. φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα

### Præsag. 31.

※ Atque inter optima indicia sunt præcordia, ubi sine ullo sensu doloris in utraq; parte æqualiter mollia sunt. Inflāmata uerò, dolētia, et intēta, et ubi aliter in

©BIU Santé



κείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, ταῦτα φυλάσσεσθαι χρή.

*dextra aliter in ſiniſtra parte afficiuntur, ſuſpecta haberi debent.*

ΠΡΟΓ. λβ΄

Εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην, ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τῶν τοιούτων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτοις ἐλπίς.

Præſag. 32.

*Præcordiorũ uenæ, ſi pulſent, aut turbationem, aut delirium portendunt: ſed eorum qui ſic affecti ſunt, oculos aſpicere oportet: quippe frequens illorum motus, inſaniã cominatur.*

## A TVMORIBVS.

ΠΡΟΓ. λγ΄

Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρ᾽ ἅπαν εἴη τὸ ὑποχόνδριον. εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερον ἐστὶν ἐν τῷ ἐπ᾽ ἀριστερά.

Preſag. 33.

*Præcordia tumida, dura, dolentia, ſi in uniuerſum ſic affecta ſunt, maximũ malum portendunt: ſi uerò altera parte duntaxat, ex ſiniſtra minus periculum eſt.*

Προγ. Prog.

©BIU Santé



ΠΡΟΓ. λδ'

❦ Σημαίνει δὲ τὰ τοι-
αῦτα οἰδήματα ἐν ἀρ-
χῇ μὲν θάνατον ὀλιγο-
χρόνιον ἔσεσθαι.

ΠΡΟΓ. λε'

❦ Ἢν δὲ ὑπερβάλλῃ
εἴκοσιν ἡμέρας ὅ,τε πυ-
ρετὸς ἔχων καὶ τὸ οἴδη-
μα μὴ καθιστάμενον, ἐς
διαπύησιν τρέπεται.

ΠΡΟΓ. λς'

❦ Γίνεται δὲ τούτοι-
σιν ἐν τῇ πρώτῃ περιό-
δῳ, καὶ αἵματος ῥῆξις ἐκ
τῶν ῥινῶν, καὶ κάρτα ὠφε-
λεῖ. ἀλλ' ἐπανερωτᾶν
χρὴ, εἰ τὴν κεφαλὴν
ἀλγέουσιν, ἢ ἀμβλυώ-
σσουσιν, ἢν γάρ τι τοιοῦ-
τον εἴη, ἐνταῦθα ῥέποι.

ΡΡΟΓ. λζ'

❦ Μᾶλλον δὲ τοῖσι
νεωτέροισι πέντε καὶ

Præſag. 34.

❦ *Cæterũ huiuſmo-
di tumores, in princi-
pio quidem proximam
mortem denuntiant.*

Preſag. 35.

❦ *Vbi uerò uiginti
dies exceſſerint, neque
quieſcête febre, neq; tu
more remiſſo ad ſuppu
rationem cõuertuntur.*

Præſag. 36.

❦ *Atq; inter primos
circuitus, ſanguis è na-
ribus fluẽs, nõ mediocri
ipſis præſidio eſt, ſed
tum ſanguinis eruptio
expectari debet, quum
interrogati, aut caput
dolore, aut oculos cali-
gare fatẽtur.* Preſ. 37.

❦ *Id uerò iunioribus
uidelicet circa quintum
& tri-*

©BIU Santé



τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι χρή.

ΠΡΟΓ. λη'

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν.

ΠΡΟΓ. λθ'

Εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας, ὅ τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθίσταται, ἔμπυον ἔσεσθαι σημαίνει. καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό.

ΠΡΟΓ. μ'

Ὁκόσα μὲν οὖν ἐπώδυνά τε ἐστι, καὶ σκληρὰ καὶ μεγάλα σημαί-

τα

& trigesimum annum, plerunq; euenire solet.

Præsag. 38.

Mollis tumor dolorem non inferens, & digitis cedens, longiori tempore finitur, sed nõ ita graue ab eo periculum pendet.

Præsag. 39.

Quòd si intra sexaginta dies, neque febris desinit, neq; tumor resedit, suppurationem expectare oportet. Idẽ haud secus in reliquis quoque uẽtris partibus perpenditur.

Præsag. 40

Itaq; dolorosus, magnusque tumor, dolore cru-

ciabi.

BIU Santé



νει κίνδυνον θανάτου, ὀλιγοχρόνιον. ὁκόσα δὲ μαλθακά ἐστι καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

ΠΡΟΓ. μα΄

Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται, τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν.

ΠΡΟΓ. μβ΄

Ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ εἰς ἀποπύησιν τρέπεται. αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι. ἁπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία, ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας.

*ciens, mortis periculū, nō multo post fore denunciat. Mollis uerò & sine dolore, quiq; prementi digito cedit, longus esse solet.*

Præsag. 41.

*Ventris tumores, nō tam crebro, ut hi qui in præcordijs oriuntur, abscessum efficiūt, quod si sub umbilico constituantur, nequaquam ad suppurationem conuertentur.*

Præsag. 42.

*Sed ex superioribus maximè sedib. sanguinis fluorem expectare oportet. In quibus omnis humor diuturnus, ad suppurationem ferè spectat.*

©BIU Santé



## A SVPPVRATIONE.

ΠΡΟΓ. μγ΄

Τὰ δὲ διαπυήματα ὧδε δεῖ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι. μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω. καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. τὰ δὲ μεγά- τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα.

Præsag. 43.

Itaq; suppurationum obseruatio sic accipienda est: earum enim quæ in exteriorem partem erumpunt, optimæ sunt, paruæ admodum eminentes, atq; in acutum fastigiatæ: peßimæ uerò sunt, quæ maximæ quæq; planißimæ sunt.

ΠΡΟΓ. μδ΄

Ὅσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἐστι προεσταλμένα τέ καὶ ἀνώδυνα. καὶ πᾶν τὸ ἔξω χωρίον, ὁμόχροον φαίνεται.

Præsag. 44.

Sed illarum quæ intus excitātur, optimæ censentur, quæ exteriorem cutem non decolorant, sed contrahuntur, nulloq; dolore cruciant, atque ubi exterioris cutis color manet uniformis.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 176 sur 669

©BIU Santé



ΠΡΟΓ. μέ.

Τὸ δὲ πῦον, ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. τὸ δὲ ἐναντίον τούτου, κάκιστον.

Præsag. 45.

Pus illud optimũ est, quod album & lene est, & haudquaquã fœtet, quod uerò ab hoc uariat, peßimum est.

# ΙΠΠΟΚΡΑΤΟΥΣ Κώου προγνωστικὸν βιβλίον δεύτερον.

# HIPPOCRATIS Coi Præsagiorum Liber II.

## DE AQVA INTER CVTEM.

ΠΡΟΓ. β'

Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοὶ. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες.

Præsag. 1.

AQua inter cutẽ si ex acuto morbo cœpit, piculosa est, neq; enim febrim soluit, sed dolorib. torquet atq; interficit;

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 177 sur 669

©BIU Santé


νατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι, ἀπὸ τῶν λαγνεώνων καὶ τῆς ὀσφύος. οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

terficit: oritur uerò magna ex parte uel ab ilibus & lumbis, uel à iecinore.

ΠΡΟΓ. β′

❀ Οἷσι μὲν οὖν ἀπὸ τῶν λαγνεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται, οἵτε πόδες οἰδέουσι. καὶ διάῤῥοιαι πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λῦσαι τὰς ἐκ τῶν λαγνεώνων καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι,

## Præſag. 2.

❀ Sed ubi ab ilibus lumbisq; ortum contraxit, pedes tumidos reddit, fluorem diuturnum inducit, qui neq; lumborum, iliumue dolorē ſoluit, neq; uentrem efficit molliorem.

ΠΡΟΓ. γ′

❀ Ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, βῆχές τε καὶ θυμος τούτοισιν ἐγγίνεται. καὶ οὐδέν τι ἀποπτύουσιν ἄξιον λόγου.

καὶ

## Præſag. 3.

❀ At quib. à iecinore aqua inter cutē proficiſcitur, ij tuſsi uexāt, ſed qua pene nihil excreatur

©BIU Santé



καὶ οἱ πόδες οἰδέουσι. καὶ ἡ γαστὴρ οὐ διαχωρεῖ, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην. καὶ περὶ τὴν κοιλίην γίνονται οἰδήματα, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δὲ ἐπ' ἀριστερὰ, ἱστάμενά τε καὶ καταπαυόμενα.

tur, pedes tument, deiectio dura, coactaque est, circa uentrem tumores, modo in dextra, modo in sinistra parte attolluntur, deinde desinũt.

ΠΡΟΓ. δ'

Præsag. 4.

⁂ Κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες, ψυχρὰ ἐόντα, κακόν. τῆς τε κοιλίης καὶ τῶν πλευρῶν, θερμῶν ἐόντων.

⁂ Mali etiam morbi signum est, caput & pedes, manúsque frigidas habere, uentre & lateribus calentibus.

ΠΡΟΓ. ε'

Præsag. 5.

⁂ Ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα, θερμόν τε ἐὸν καὶ μαλθακόν.

⁂ Securitatẽ pollicetur corpus, quod æqualiter molle, et calidũ est.

ΠΡΟΓ. ς'

Præsag. 6.

⁂ Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἐλγεῦντα καὶ ἐμ

⁂ Quodque facile conuertitur

©BIU Santé



ἐν κοῖσιν μετεωρισμοῖσιν ἐλαφρὸν ἐοῦσαν.

ΠΡΟΓ. ζ'

⁂ Εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο, καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνώτερον.

ΠΡΟΓ. η'

⁂ Εἰ δὲ πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος παραυτίκα.

ΠΡΟΓ. θ'

⁂ Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσιν. ἀλλὰ καὶ τἄλλα σημεῖα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται

τὸ

uertitur & surgit.

Præsag. 7.

⁂ Grauitas uerò, quæ uel manus & pedes, uel reliquum quoq; corpus premit, periculum significat.

Præsag. 8.

⁂ Quòd si cum grauitate, ungues quoq; ac digiti liuore afficiuntur, cōtinuò, perniciem expectare oportet.

Præsag. 9.

⁂ At omnino nigri, tum digiti, tum pedes, minus quàm liuētes, periculum portendūt: sed tunc ad reliqua signa refugere oportet: etenim si æger facilè malum

lum

©BIU Santé



τὸ κακὸν, καὶ ἄλλό τι τῶν περιεστηκότων πρὸς ἰστέοισι τοῖσι σημείοισιν ἐπιδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς. ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

lum sustinet, adsint que alia quædã indicia, quæ securitatẽ polliceri solent, suppurationẽ sperabis, atq; superstes manebit æger, sed denigratæ corporis partes decident.

ΠΡΟΓ. ι

Præsag. 10.

Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα.

Testiculi pudendaq; retracta, uehementes dolores, atque letale periculum significãt.

## DE SOMNO.

ΠΡΟΓ. ια

Præsag. 11.

Περὶ δὲ ὕπνου ὥσπερ κατὰ φύσιν συνήθεες ἡμῖν ἐσὶ, τὴν μὲν ἡμέρην, ἐγρηγορέναι χρὴ. τὴν δὲ νύκτα, καθεύδειν. ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον.

Quod uerò ad somni rationem pertinet, quẽadmodũ sani etiã solent, interdiu uigilare, noctu uerò dormire oportet. à qua cõsuetudine si quis aberrauerit, peior

©BIU Santé



κάκιον. ἥκιστα δὲ ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι.

peior erit somnus, qui qui inter quartã horam et noctẽ, quàm qui matutino tẽpore ad quartã.

## ΠΡΟΓ. ιβ'

Praesag. 12.

⁜ Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου.

⁜ Peßimum tamen est, si somnus neque noctu, neq; interdiu accedit: id enim ob dolorem laborẽq; accidit, uel delirium futurum significat.

## DE ALVI EXCREMENTIS.

## ΠΡΟΓ. ιγ'

Praesag. 13.

⁜ Διαχώρημα δὲ ἐστὶν ἄριστον, τὸ μαλθακόν τε ὂν καὶ ξυνεστηκός. καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων

⁜ Alui excremẽta inter bona indicia sunt, si mollia, si figurata sunt, si eodem ferè tempore quo in secunda ualetudine deijci solebant, excernũtur: si his quæ ingerũtur proportione respondent,

©BIU Santé



ἐόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

dēt, utpote quæ inferiorem uentrem rectè ualere declarant.

ΠΡΟΓ. ιδ'

❧ Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρίζειν μήτε πυκνόν τι εἶναι. καὶ κατ' ὀλίγον ὑποχωρέειν. κοπιῷ γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, καὶ ἀγρυπνοίη ἄν. εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι.

Præsag. 14.

❧ Si uerò liquida fuerint, præstat ut sine stridore, neq; frequenter, neq; ex breuibus interuallis deijciātur, etenim fatigatur æger, si crebro surgit, uigilijsq; consumitur, quū uerò affatim sæpéque deijcit, ne animus eum deficiat, periculum est.

ΠΡΟΓ. ιε'

❧ Ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ἢ δὶς, ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν· τῆς δὲ νυκτὸς ἅπαξ. πλείονα δ' ὑπιέναι τὸ πρωῒ, ὥσπερ συνήθες ἐστὶ τῷ ἀνθρώπῳ.

Præsag. 15.

❧ Cōuenire debēt excrementa, his quæ assumūtur, & bis ter'ue interdiu, noctu uerò semel deijci, idq; maximè matutinis tēporib. pro cuiusq; consuetudine.

©BIU Santé



ΠΡΟΓ. ιϛʹ

Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νόσου.

Praesag. 16.

Ad finem iam tendente morbo, bonum est, si crassiora reddantur.

ΠΡΟΓ. ιζʹ

Ὑπόπυῤῥον δὲ ἔστω καὶ μὴ λίην δυσῶδες.

Presag. 17.

Ac rufa, & odoris fœditate, sani hominis aluum non uehementer excedant.

ΠΡΟΓ. ιηʹ

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος πρὸς κρίσιν ἰούσης τῆς νόσου.

Praesag. 18.

Lumbricos etiam cum excrementis, sub fine morbi descendisse nihil nocet.

ΠΡΟΓ. ιθʹ

Δεῖ δὲ ἐν παντὶ τῷ νοσήματι λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον.

Praesag. 19.

Venter in quouis morbo uacuus, corpulentusque esse debet.

ΠΡΟΓ. κʹ

Ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν

Presag. 20.

PERICVLOsum stercus est, quod perliquidum, albicans, pallidum, uehementer rufum,

θρόμβον ἰσχυρῶς, ἢ ἀφρώδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα.

ΠΡΟΓ. κα′

⁂ Ἔτι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον.

ΠΡΟΓ. κβ′

⁂ Τουτέων δὲ θανατωδέστερα ἂν εἴη, τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, ἢ κακώδεα. Τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων.

ΠΡΟΓ. κγ′

⁂ ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα. ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι.

*ſum, aut ſpumans eſt.*

Preſag. 21.

⁂ *Item malum eſt, quod exiguum, glutinoſum, idémque ſubpallidum eſt.*

Præſag. 22.

⁂ *Omnium maximè letiferum eſt, nigrũ, pingue, liuẽs, aut quod peioris eſt odoris quã pro conſuetudine.*

Præſag. 23.

⁂ *Varia excrementa, quanquã diutius mortem differunt: non tamen minus ſunt letalia, huiuſmodi et ramentoſa ſunt, bilioſa & nigra, atq; porri colorem*



©BIU Santé

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 185 sur 669

©BIU Santé


λοισι ποτὲ δὲ κατὰ μέρος.

ΠΡΟΓ. κδʹ

✻ φύσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι, ἄριστον. κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι. καὶ οὕτω διελθοῦσα σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται.

ΠΡΟΓ. κεʹ

✻ Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. καὶ μάλιστα μὲν διεξιὼν,

imitantur. Præſ. 24.

✻ Inter optima ſigna eſt flatus, qui neq; ſtrependo, neque pedendo emittitur, quãquã enim ſatius eſt ipſum cũ ſtrepitu exire quàm includi: tamen hoc pacto prodiẽs aut dolere, aut delirare ægrũ ſignificat, niſi ſua ſpõte flatũ ipſum emiſerit.

Præſag. 25.

✻ Præcordiorum recentes quidem dolores, gibboſq;, niſi inflammatio quoque acceſſerit, murmur in ipſis exortũ ſoluit.

©BIU Santé



διεξιὼν, ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ. ἢν δὲ μὴ, καὶ αὐτὸς διὰ περαιωθεὶς, ὠφελέει. ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

solvit, ac unà cum stercore & urinis, atque flatu egreditur, quod ubi non contingit, si tamen ex sede sua trāsfertur, bonum signum est, idq; magis si ad inferiora descendit.

## DE VRINIS.

### ΠΡΟΓ. κϛ'

❦ Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν εἴη λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε καὶ νούσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐροῖτο, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν καὶ

### Præsag. 26.

❦ Vrina illa optima est, in qua per totū morbi decursum residet album, leue, æquale: hæc nimirum securitatē, breuemq; morbum significat. Quod si aliquid horum deest, ut modo liquida sit, modo albū, le-

ueq;

©BIU Santé



λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος. ἐστὶ δὲ ἧσσον ἀσφαλής.

ΠΡΟΓ. κζʹ

※ Εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, καὶ λείη, πολυχρονιώτερον μὲν τούτου τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα.

ΠΡΟΓ. κηʹ

※ Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες, πονηραί. τουτέων δὲ εἰσὶ κακίους, αἱ πεταλώδεες. αἱ λευκαὶ δὲ καὶ λεπτά, κάρτα φλαῦραι. τουτέων δ' ἔτι κακίους εἰσὶν, αἱ πιτυρώδεες.

Προγ.

ueque in ipſa reſideat, hæc ut longiorem morbum denunciant, ita ſecuritatem minorem pollicetur.

Præſag. 27.

※ Subrubra urina, in qua ſubrubrũ, leueq; reſidet, quanquàm ſuperiore morbũ diuturniorem, eundem tamen ſalubriorẽ fore declarat.

Præſag. 28.

※ Mala eſt urina, quũ id quod reſidet, parti farinæ craßiori ſimile eſt, peior uerò, ſi lamis, ac uituperatur quoque alba tenuisq;, quãquàm longa maius periculũ illa portẽdit, in qua quædam tanquàm furfura reſident.

Præſag.

©BIU Santé



Προγ. κθ'

❦ Νεφέλαι ἐμφερόμεναι τοῖσιν οὔροισι λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φλαῦραι.

Προγ. λ'

❦ Ἕως ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι.

Προγ. λα'

❦ Ἢν δὲ καὶ πουλυχρόνιον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἕως ἂν πεπανθῇ τὸ οὖρον.

Προγ. λβ'

❦ Θανατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα καὶ ὑδατώδεα, καὶ μέλανα καὶ παχέα.

Προγ.

Præſag. 29.

❦ *Nebulæ in urina ſuſpenſæ, albæ quidē bonæ, nigræ uerò malæ ſunt.*

Præſag. 30.

❦ *Cæterū quoad urina rufa, tenuisq; apparuerit, crudū morbum ſignificat.*

Præſag. 31.

❦ *Quod ſi diutius talis permanſerit, nec priuſquā morbus quieſcat, æger uiribus deſtitutus ſuccūbat, periculum eſt.*

Præſag. 32.

❦ *Pernicioſiſsima eſt urina, quæ mali odoris, & diluta, & tenuis, & nigra, & craſſa eſt.*

Præſag.

©BIU Santé



ΠΡΟΓ. λγ'

Ἔτι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων, κάκιστα. τοῖσι δὲ παιδίοισι, τὰ ὑδατώδεα.

Præſag. 33.

In uiris quidem & & mulieribus nigra, in pueris uerò tenuis & diluta, deterrima eſt.

ΠΡΟΓ. λδ'

Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἢν τ' ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

Præſag. 34.

Si urina tenuis & cruda, ſic diu fertur, ut reliqua ſigna ſalutaria ſint, plerunq; infra ſeptum tranſuerſum abſceſſus oriri ſolet.

ΠΡΟΓ. λε'

Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ὑφισταμένας ἀραχνοειδέας μέμφεσθαι, συντήξιος γὰρ σημεῖα.

Præſag. 35.

Neq; leuiter terrere nos debet urina, cui pinguedo telis araneorũ ſimilis innatat, quippe quæ hominẽ tabe cõſumi ſignificat.

©BIU Santé



ΠΡΟΓ. λϛʹ

※ Σκοπεῖν δὲ χρὴ τῶν ἐνεωρημάτων οἷσι αἱ νεφέλαι ἤν τε ἄνω ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖς χρώμασιν, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν. τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιάσδε.

Præsag. 36.

※ Nubecularum positum, supremúmne locum, an infimũ teneant, obseruare oportet. Nã quæ in ima parte consistuuntur cum coloribus, quos suprà pposui, bonæ sunt, atq; laudantur: quæ uerò sursum attolluntur, malæ, uituperandæq; sunt.

ΠΡΟΓ. λζʹ

※ Μὴ ἐξαπατάτω δέ σε ἤν γε ἡ κύστις τι νούσημα ἔχουσα τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτῆς.

Præsag. 37.

※ Sed caue ne uesica quoquo modo affecta, si huiusmodi reddiderit urinas, te decipiat: tales enim nõ ad uniuersum corpus, sed ad ipsam dũtaxat uesicam referri debent.

©BIU Santé



## DE VOMITV.

### ΠΡΟΓ. λη´

❦ Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος, καὶ μὴ παχὺς κάρτα, μὴ δὲ πολὺς, ὡς μάλιστα. οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν.

### ΠΡΟΓ. λθ´

❦ Εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πέλιον, ἢ μέλαν, ὅ,τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι.

### ΡΟΓ. μ´

❦ Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέει, κάρτα ὀλέθριον τοῦτο γίνεται.

Προγ.

### Præsag. 38.

❦ Perquàm utilis est uomitus, qui bilem pituitæ mixtã habet, si neq; crassitie, neque multitudine admodũ excedat: nam synceræ pituitæ, bilis'ue uomitus periculosus est.

### Præsag. 39.

❦ Si uerò uiridis, aut liuidus, aut niger est, qlibet horum colorum acciderit, uitiosus est.

### Præsag. 40.

❦ Si uerò omnes affatim in eodem appareant, mortis periculum ualde timendum est.

Præsag.

©BIU Santé



ΠΡΟΓ. μα′

Τάχιστα γὰρ θάνατον σημαίνει τὸ πελιὸν τῶν ἐμεσμάτων, εἰ ὄζει δυσῶδες.

Præsag. 41.

Ad ultima uentum esse testatur liuidus uomitus, præcipuè si malus in hoc odor est.

ΠΡΟΓ. μβ′

Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.

Præsag. 42.

Siquidem fœtores in quouis uomitu mali sunt.

## DE SPVTO.

ΠΡΟΓ. μγ′

Πτύελον χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως.

Præsag. 43.

In pulmonis, costarumq; doloribus, oportet ut sputum celeriter, facileq; screetur.

ΠΡΟΓ. μδ′

Ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν, ἰσχυρῶς τῷ πτυέλῳ.

Præsag. 44.

Et cruor sputo uehementer misceatur.

Προγ. Præsag.

©BIU Santé



ΠΡΟΓ. με'

❦ Εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται.

ΠΡΟΓ. μς'

❦ Τό, τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες. τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές.

ΠΡΟΓ. μζ'

❦ Κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα, καὶ τὸ ἀφρῶδες.

ΠΡΟΓ. μη'

❦ Εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότε-

ρόν

Pręsag. 45.

❦ Etenim si multo post doloris initiū, aut cruētum, aut rufum, aut nō sine multa tussi, nec adeò cōmixtum expuitur, uitiosum censetur.

Pręsag. 46.

❦ Quippe cruentū, si syncerum quoq; fuerit, periculum subesse testatur: album uerò, uiscidum, & rotundum, inutile est.

Præsag. 47.

❦ Mali etiam morbi testimoniū est, quod admodū uiride, quodq; spumosum est.

Præsag. 48.

❦ Id uerò omni alio deterius est, quod sic est syncerū, ut nigrum

quoq;

©BIU Santé



ρὸν δεῖ τῶν ἐκείνων. ἱκανὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μὴ δὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν, ζέῃ ἐν τῇ φάρυγγι.

### ΠΡΟΓ. μθʹ

Κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα νουσήμασι, προγεγονέναι ἢ ἐπιγενέσθαι κακόν. ἀλλ' ἐν τοῖσιν νουσήμασι τοῖς θανατώδεσι ἅπασιν, οἱ πταρμοὶ λυσιτελοῦσιν.

### ΠΡΟΓ. νʹ

Αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν, ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μετὰ τῆς νόσου πτυόμενον περιεστικὸν καὶ κάρτα

*quoq; uideatur. Neq; tutum est sputũ, quod non expurgatur, nec proijcit ipsum pulmo, sed ob nimiam plenitudinẽ feruet in gutture.*

### Præsag. 49.

*In omnibus morbis pulmõis destillatio, sternutamentũq;, siue præfuerint, siue superuenerint, periculũ ostendũt, quanquã in cæteris morbis, uel periculosißimis, utilitate carent.*

### Præsag. 50.

*Sputum cruẽtum cui paulũ sanguinis admixtũ est, in morbi principio, inflammato pulmone proiectum, securi-*

M *tatem*

©BIU Santé



κάρτα ὠφελέει. ἑβδομαίῳ δὲ ἐόντι ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές.

tatem atq; auxilium pollicetur: quod uerò ad septimum usq; diem, longiori'ue spacio tale apparet, nõ adeò tutũ est.

ΠΡΟΓ. να΄

* Πάντα δὲ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. τὰ δὲ παύοντα ὀδύνην, πάντων ἄμεινω ἀναπτυόμενα.

Præsag. 51.

* Omne sputũ, quod dolorem nõ mitigat, malum est. Nigrũ, ut suprà demonstrauimus, pessimum est, sed longe saluberrimũ est id, quod dolorem placat.

## DE SVPPVRATIONE.

ΠΡΟΓ. νβ΄

* Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας

Præsag. 52.

* Dolores in dictis sedibus, quos neq; sputi purgatio, neq; soluta aluus, neq; sanguinis missio,

τε καὶ

©BIU Santé



τε καὶ φαρμακείας καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα.

## ΠΡΟΓ. νγ´

❦ Τῶν δ' ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύηται, ἤν τε ὁμοῦ. μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα, ἀπὸ τουτέου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος.

## ΠΡΟΓ. νδ´

❦ Ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα, ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

*ſio, neque medicamentum, neque uictus ratio, ſedare potuit, ſcire licet eos ad ſuppurationem tendere.*

## Præſag. 53.

❦ *Suppuratio erumpens, ſputo adhuc bilioſo apparente, ſiue bilis ſeorſum, ſiue unà cũ pure expuatur, admodum pernicioſa eſt, præſertim ſi à die morbi ſeptimo incœperit pus ab huiuſcemodi ſputo procedere.*

## Præſag. 54.

❦ *Itaq; timendũ eſt ei qui ſic expuit, ne decimaquarta die moriatur, niſi ſalutiferum aliquod indiciũ interea ſuperueniat.*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 197 sur 669

©BIU Santé



ΠΡΟΓ. νε'

Ἔστι δὲ τὰ μὲν ἀγαθὰ, τάδε. εὐπετέως φέρειν τὸ νούσημα. εὔπνουν εἶναι. τῆς ὀδύνης ἀπηλλάχθαι. τό, τε πτύελον, ῥηϊδίως ἀναβήσσειν. τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακόν. καὶ δίψαν μὴ ἔχειν. οὖρα τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος.

Præsag. 55.

Porrò bonæ spei signa sunt, si æger benè sustinet morbum, si facile spirat, si dolor leuatus est, si sine difficultate screat, si corpus æqualiter molle et calidū est, neque sitis infestet: præterea urina, alui sedimina, somni, sudores, ut de singulis suprà demōstrauimus, probère spondēt, quorum si nullum deest, haudquaquā æger morietur.

ΠΡΟΓ. νς'

Ἢν δὲ τὰ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ

Presag. 56.

Si verò eorū aliqua quidem adsint, aliqua

δὲ μὴ, οὐ πλείονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος. κατὰ δὲ τὰ ἐναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον. πνεῦμα μέγα καὶ πυκνὸν ἐὸν (ἐὸν). τὴν ὀδύνην μὴ παύεσθαι. τὸ πτύελον μόλις ἀναβήσσειν. δίψην κάρτα. τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι. καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς. τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας ὡς διαγέγραπται ἕκαστα εἰδέναι, κακὰ ἐόντα. οὕτως γὰρ εἰ ἐπιγένοιτό τι τῶν πτυέλω τουτέων, ἀπόλ-

qua nõ, die ad summum tertiodecimo æger morictur. Contrà si intolerabilis est morbus, si halitus magnus & frequens est, neque mitigatus est dolor, uix sputũ redditur, sitis uehementer cruciat, febris inæqualiter corpus afficit, si denique uenter & latera uehemẽter calent, fronte, manibus, & pedibus frigore affectis, atque urina & alui excremẽta, et somni, & sudores, ex suprà propositis notis periculũ minãtur. quidq̃d horũ iam dicto sputo superuenerit,

©BIU Santé



λοιπὸν ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρή, ὡς τοῦ πτυέλου τούτου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἄλλα γενόμενά τε κακὰ καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων, χρὴ τὰς προῤῥήσιας προλέγειν. οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα.

aut nono, aut undecimo die ægrum moriturũ significat, ita ut decimum quartum non queat attingere. Huiuſmodi coniectura letale ſputũ conſequi oportet, quod uidelicet ad decimũquartum diem ægrum uiuere nõ permittit. Ex prædictis itaq; ſigna, tũ bona, tũ mala perpẽdere, ac ſubinde futura prædicere oportet.

## ΠΡΟΓ. νζ

Αἱ δὲ ἄλλαι ἐκπυήσιες, ῥήγνυνται αἱ πλεῖσται. αἱ μὲν εἰκοσταῖαι. αἱ δὲ τριηκοσταῖαι αἱ δὲ τεσσαρακονθήμεροι. αἱ δὲ πρὸς

## Præſag. 57.

Reliquæ aũt uomicæ magna ex parte rumpũtur, ſed aliæ in die uigeſimo, aliæ trigeſimo, aliæ quadrageſimo, nonnullæ

πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

ΠΡΟΓ. νη΄

❊ Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον, ἀπὸ τῆς ἡμέρης ἢ τὸ πρῶτον ὁ ἄνθρωπος πύρεξεν, ἢ εἴποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε, καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεεν. ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων. ἐξ ὧν τούτων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων, ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους. ΠΡΟΓ. νθ΄

*nullæ ad ſexageſimum uſque perueniunt.*

Præſag. 58.

❊ Proinde *ſuppurationis initium obſeruare oportet, quod ab eo die putandũ eſt quo primum quis aut febricitauit, aut inhorruit, aut pro dolore grauitatem illius partis ſenſit, quã antea dolor infeſtabat. Nam talia in ſuppurationũ principio accidere ſolent: ab hoc igitur tẽpore, uſq; ad iam definita ſpacia, uomicarum eruptiones expectandæ ſunt.*

Præſag. 59.

❊ *An uerò alterã duntaxat partẽ uomica oc-*

❊ Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦ-

©BIU Santé



νον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ περὶ τούτοισι, μήτε ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ. καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου περὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾶν εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν, εἰ γὰρ εἴη τοῦτο, περὶ θάτερόν ἐστι τὸ ἐμπύημα. περὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται.

cupet, ex his ferè notis perpendere licet, si alterũ latus dolore cruciatur & altero calidius est, atque ubi in partem sanam aliquis decubuit, interrogatus, onerari eam, ueluti ex pondere aliquo respondeat: quibus cognitis, in eo latere suppuratione esse conijcies, cui grauitas incumbit.

## ΠΡΟΓ. ξ

⁂ Τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ, τοῖσι δὴ τοῖς σημείοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων. καὶ

## Præsag. 60.

⁂ Suppuratos omnes hoc pacto deprehendes. Si febris non dimittit, eaq; interdiu leuior est, noctu increscit, multus

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 202 sur 669

©BIU Santé



καὶ ἱδρῶτες πουλλοὶ ἐπιγίνονται. βῆχές τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισι. καὶ ἀποπτύουσιν οὐθὲν ἄξιον λόγου. καὶ οἱ μὲν ὀφθαλμοὶ, ἔγκοιλοι γίνονται. αἱ δὲ γνάθοι, ἐρυθήματα ἴσχουσι. καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν, γρυποῦνται. οἱ δὲ δάκτυλοι, θερμαίνονται, καὶ μάλιστα ἄκροι. καὶ ἐν τοῖσι ποσὶν, οἰδήματα γίνεται. καὶ σιτίων οὐκ ἐπιθυμέουσι καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

multus sudor oritur, tussiendi cupiditas est, sed nihil penè excreatur, oculi cauantur, malæ rubent, ungues in manibus curuātur, digiti, maximeq; summi calēt, pedes tument, cibi fastidiū est, pustulæ toto corpore nascuntur.

Præsag. 61.

Atq; diuturnarū uomicarum hæ sunt notæ, quib. haud dubia fides adhibenda

ΠΡΟΓ. ξα'

Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων ἔχει τὰ σημεῖα ταῦτα. καὶ πιστεύειν αὐτέοισι.

©BIU Santé



χρὴ κάρτα, ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται, οἷα καὶ νοῦσιν ἐν ἀρχῆσι γινομένοισιν. ἅμα δὲ καὶ ἢν τι δυσπνοέστερος ᾖ ὁ ἄνθρωπος.

ΠΡΟΓ. ξβ´

⁂ Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ξηγνύμενα, τοῖς δεγινώσκειν χρή. ἢν μὲν ὁ πόνος ἀρχῆσι γένηται, καὶ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν. ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τ' ἄλλα πάντα τούτοισι κατὰ λόγον, τουτέῳ

adhibenda eſt. Sed quæ breuiori ſpacio duraturæ ſunt, ex iiſdem notis deprehendūtur, atq; ex his quoque quæ in principio apparere ſolent, ſimul ſi ſpiritus maiori cū difficultate trahitur.

Præſag. 62.

⁂ Celeriorem, tardioremq́ue eruptionem ita cōiicies: Si protinus ab initio tuſsis fuit, & ſpiritus difficultas, atq; ſputi excretio, uomica intra uigeſimum diem erumpet. Si uerò non adeò uehemēs fuerit dolor, cæteraq́; illi ex proportione reſpondeant, ſerius

©BIU Santé



κοντέον προσδέχεσθαι τὴν ῥῆξιν, ἐς ὕστερον. γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.

ΠΡΟΓ. ξγ'

❦ Περιγίνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν. καὶ σιτίων ταχέως ἐπιθυμῶσιν. καὶ δίψης ἀπηλλαγμένοι ἔωσι. καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ. καὶ τὸ πῦον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ καὶ φλέγματος ἀπηλλαγμένον. καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαί-

serius ruptura sequetur: quo tempore & dolorem & spirandi difficultatem minui, atque sputi screatum increscere, ante uidelicet puris eruptionem necesse est.

Præsag. 63.

❦ Cæterum à periculo tuti sunt, quibus eodem die quo eruptio facta est, febris cōquieuit, desieruntq; urgere cibi fastidium & sitis, aluus exigua quædā et figurata reddit, pus albū, leue, simplici colore, & sine pituita est, atq; sine dolore leui tußicula eijcitur.

ρηται

©BIU Santé



ρηται. ἄριστα μὲν οὖν τοῦτο καὶ τάχιστα ἀπαλλάσσουσιν. ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίνηται. ἀπόλλυνται δὲ οὓς ἂν ὅτε πυρετὸς μὴ ἀφίῃ, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος. καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι. καὶ ἡ κοιλίη ὑγρὴ ᾖ. καὶ τὸ πύον χλωρὸν καὶ πελιὸν πτύῃ. ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται. ὁκόσοισι δ' ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται. οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται.

citur. Hæ ſunt notæ per quã ſalubres, quæ celeriter liberãt hominem. ab his ſecuritatem quoque pollicentur, quæ ad ipſas proximè accedũt. At certum periculum eſt, ſi febris non quieuit, aut poſt quietem repetit. Item ſi ſitis eſt, ſi cibi faſtidium, ſi uẽter liquidus, ſi pus eſt liuidum aut pallidũ, ſi nihil niſi ſpumãtem pituitam æger ſcreat. Itaque ſeruari nõ poſſunt, quibus omnia hæc accidũt: quibus uerò nõ omnia, alij quidẽ moriũtur, alij uerò poſt longa tẽporum interualla ſani euadũt.

Ex

ἀλλ

©BIU Santé



ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισι πᾶσιν.

Ex omnibus autem iam propositis coniecturis, reliquarũ quoque affectionum signa consyderare oportet.

## DE ABSCESSIBVS.

### ΠΡΟΓ. ξδ'

⁂ Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπλευμονικῶν νουσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπυοῦσιν ἐς τὰ κάτω χωρία καὶ συριγγοῦνται. οὗτοι δὲ περιγίνονται.

### Præsag. 64.

⁂ Quibus ob laborantem pulmonem, abscessus secundum aures oriuntur, & in partibus infernis supparãtur, ac fistulã efficiũt, ijs secunda ualetudo contingere solet.

### ΠΡΟΓ. ξε'

⁂ Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε. ἢν ὅτε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον. μὴ δὲ

χολώδεες

### Præsag. 65.

⁂ In quib. huiuscemodi notas obseruabis, Si febris nõ cõquiescit, neque dolor mitigatur, si sputũ nõ pro ratiõe eijcitur.

©BIU Santé



χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μὴ δὲ εὔλυτοί τε καὶ ἄκρητοι γίγνοιντο, καὶ μὴ τὸ οὖρον πουλύ τε κάρτα καὶ πουλλὴν ὑπόστασιν ἔχον, ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν σημείων, τουτέοισι χρὴ τὰς τοιαύτας ὑποστάσιας ἐλπίζειν ἔσεσθαι.

ΠΡΟΓ. ξς'

❦ Γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγένηται. αἱ δὲ ἄνω, οἷσι τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέη. δύσπνοος δέ τινα χρόνον γενόμενος, παύσηται,

citur. si aluus, neque biliosa, neque liquida, neque syncera excernit, si in urina admodum exigua, multa resident, ac reliqua quoq; signa omnia securitatem polliceãtur, eiusmodi abscessus expectandi sunt.

Præsag. 66.

❦ Qui alijs quidẽ eueniũt in partibus infernis, si quodam modo inflãmata fuerint præcordia: alijs uerò in superioribus, si præcordia neq; tumore, neq; dolore infestãtur, sed accedit pro tẽpore spiritus difficultas,

©BIU Santé



παύσηται, ἄτερ φανερῆς προφάσιος ἄλλης.

ΠΡΟΓ. ξζ'

※ Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι. ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γενομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύσεται, εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μὴ δὲ τὸ οὖρον ὑπόστασιν

tas, quæ deinde sine ulla euidenti occasione quiescit.

Presag. 67.

※ In uehementi periculosáque peripneumonia non inutiliter in cruribus nascũtur abscessus: nec potest aliud quicquam melius accidere, præsertim si mutato sputo sic appareant. Siue enim tumor siue dolor sentitur, sputo cruẽto in pus iam conuerso excretoq́; tutißimum id indiciũ est. Nam et æger à periculo liberatur, & abscessus doloris expers, celerrimè cõquicscit. At si neq; sputũ ꝓbè excernitur, nihilq́; residet in urina,

ὑπόστασιν ἀγαθὴν ἔ-
χον φαίνοιτο, κίνδυ-
νος χωλὸν γενέσθαι
τὸ ἄρθρον, ἢ πολλὰ πρή-
γματα παρασχεῖν.

ΠΡΟΓ. ξη´

⁂ Ἢν δὲ ἀφανίζων-
ται καὶ παλινδρομέω-
σιν αἱ ἀποστάσιες τοῦ
πτυέλου μὴ ἐκχωρέον-
τος, καὶ τοῦ πυρετοῦ
ἔχοντος, δεινόν. κίν-
δυνος γὰρ, μὴ παρα-
φρονήσῃ, καὶ ἀποθά-
νῃ ὁ ἄνθρωπος.

ΠΡΟΓ. ξθ´

⁂ Τῶν δὲ ἐμπύων,
τῶν ἀπὸ τῶν περιπλευ-
μονικῶν, οἱ γεραίτε-
ροι μᾶλλον ἀπολλυν-
ται. ἐκ δὲ τῶν ἄλλων
ἐμπυημάτων, οἱ νεώ-
τεροι μᾶλλον ἀποθνήσκουσιν.

quod bonam ſpem fulci
re uideatur, ne ex eo ar
ticulo claudicet æger,
uel plurima certè ſuſti-
neat negotia, periculũ
eſt.

## Præſag. 68.

⁂ Si uerò ſubſederũt
abſceſſus, ſed rurſus re
petunt, non prodeunte
ſputo, ac perſeuerãte fe
bre, grauis timor eſt, ne
delirium ſubeat æger,
aut moriatur.

## Preſag. 69.

⁂ Sanè ex ſuppura-
tionibus, quas pulmonũ
morbi concitarunt, ferè
ſenes moriuntur: ex cæ
teris, iuniores.

Prog.

ΠΡΟΓ.

©BIU Santé



* Αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφύν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον, τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπιφαίνηταί τι πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος. ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πύον ᾖ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται, εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς

* *Lumborũ, inferiorũq; partiũ dolores, quibus febris quoque accedit, si ad septũ transuersum transeunt, relictis inferioribus, admodum perniciosi sunt, animaduertẽda tamen reliqua quoque indicia sunt: si periculosum aliquod signum accesserit, hominẽ à spe deponit. Quũ urũtur suppurati, si pus fluxerit purũ, cãdidum, & sine fœtore, seruantur: si uerò subcruentũ, cœnosumq;, pereunt. Si ad septũ trãsuersum, malum*

ὡς πρὸς τὰς φρένας, τ' ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες.

lum ascẽderit, nullo reliquorum signorum periculum ostendente, futuræ suppurationis indubitata spes est.

## EX VESICA NOTAE.

### ΠΡΟΓ. οα'

❀ Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι. ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τούτῳ τῷ χρόνῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην.



### Præsag. 71.

❀ Vesica dura, dolens, graue periculum, letaleq; cõminatur: idq; si cõtinua quoque febris accesserit, nã uesicæ dolores, ualidam necandi uim obtinent, quo tempore aluus etiam nihil reddit, nisi dura quædã ac ne ea quidem, nisi cogatur.



©BIU Santé

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 212 sur 669

©BIU Santé



ΠΡΟΓ. οβʹ

❦ Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν.

Præsag. 72.

❦ At uerò urina purulenta procedens, in qua residet album & leue, metum detrahit.

ΠΡΟΓ. ογʹ

❦ Ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ἦ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

Præsag. 73.

❦ Quòd si ab huiusmodi urina dolor leuatus non est, neque uesica mollior effecta est, neq; febris conquieuit, laborantem per primos morbi circuitus moriturum, denũciandum est.

ΠΡΟΓ. οδʹ

❦ Ὁ δὲ τρόπος οὗτος, ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαίδεκα ἔτεα γένωνται.

Præsag. 74.

❦ Id uerò pueris à septimo anno ad decimumquintum præcipuè accidere solet.

©BIU Santé



# ΙΠ-ΠΟΚΡΆΤΟΥΣ Κῴου προγνωστικὸν βιβλίον τρίτον.

# HIP-POCRATIS Coi Aphoriſmorum Liber III.

## DE FEBRIBVS.

### ΠΡΟΓ. α'

Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται.

### Preſag. 1.

Febres, ſiue ſanus ab ipſis quis euadat ſiue pereat, æquali dierũ numero finiuntur.

### ΠΡΟΓ. β'

* Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν.

### Præſag. 2.

* Vt enim ſaluberrimæ febres, quæ uidelicet tutiſsimis fulciuntur notis, die quarto uel antea quieſcere ſolent.

ΠΡΟΓ.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 214 sur 669

©BIU Santé



ΠΡΟΓ. γ'

❦ Οἵ, τε δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν.

Præsag. 3.

❦ Ita pessimæ quæq;, et quib. periculosissima adsunt signa, die quarto, uel citius interficiũt.

ΠΡΟΓ. δ'

❦ Ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ. ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην περιάγεται. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσσάρων, ἐς τὰς εἴκοσιν, ἐκ προσθέσιος τελευτῶσιν.

Præsag. 4.

❦ Primus itaq; earũ insultus ita finitur, alter in septimũ diem producitur, tertius in undecimũ, quartus, in decimũ-quartũ, quintus in decimũseptimũ, sextus in uigesimũ. Igitur accessiones ipsæ, ex acutissimis morbis per quatuor in uiginti auctæ finiuntur.

ΠΡΟΓ. ε'

❦ Οὐ δύναται δὲ ὅλῃσιν. ἡμέρῃσιν οὐδὲν τούτων ἀριθμεῖσθαι

Presag. 5.

❦ Verũ huiuscemodi suppuratio p dies integros nimirum fieri non potest,

©BIU Santé



σθαι ἀτρεκέως, οὐ δὲ γὰρ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμεῖσθαι.

ΠΡΟΓ. ϛʹ

※ Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων. ἡ δὲ βʹ τεσσαράκοντα ἡμερέων. ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων.

ΠΡΟΓ. ζʹ

※ Τουτέων δὲ ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατον διαγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι καὶ καθ᾽ ἑκάστην τετράδα προστι-

potest: quippe quũ nec annus, nec menses ipsi, integris numerẽtur diebus.

Præsag. 6.

※ Deinde eadem ratione, atq; additiõe, primus circuitus ad quatuor & triginta, alter ad quadraginta, tertius ad sexaginta dies pueniet.

Præsag. 7.

※ Sed huiusmodi morbos, qui longiori spacio finiri debent: ab initio perq̃ difficile est discernere, q̃ simillima sint eorum principia: animaduertere tamen à prima die oportet, atq; singulos dierum quaterniones

©BIU Santé



προσιθεμένην σκέπτεσθαι. καὶ οὐ λήσεταί σε ὅπῃ τρέψεται τὸ νόσημα.

nes obseruare: sic enim haud obscurè scies, quò se conuersurus sit morbus.

### ΠΡΟΓ. η'

Γίνεται δὲ ἡ τῶν τεταρταίων κατάστασις, ἐκ τοῦ τοιούτου κόσμου.

### Præsag. 8.

Ac quartanæ quoque cōditio hunc seruat ordinem.

### ΠΡΟΓ. θ'

Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γινώσκεσθαι, εὐπετέστερα γινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέων ἐστίν. οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι. καὶ κοιμῶνται τὰς νύκτας. τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα.

### Præsag. 9.

Morbi autem tempore breuißimo finē attingētes, facilius dignoscuntur, utpote qui maximis protinus ab initio distinguntur differentijs: siquidem ad sanitatem tēdentes, facilè spirant, non dolent, dormiunt noctu, ac reliqua quoq; signa, maximam eis securitatē pollicentur.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 217 sur 669

©BIU Santé



ΠΡΟΓ. ι'

* Οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται, ἀλλοφάσοντες. ἀγρυπνέοντες. τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες.

Præsag. 10.

* Perituri uerò difficulter spirant, delirant, uigilant, cæteraq; id genus peßima signa eis accedunt.

ΠΡΟΓ. ια'

* Ὡς οὖν τούτεων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων.

Præsag. 11.

* Vt igitur, his sic se habẽtibus, morbos ad iudiciũ tendẽtes coniectura consequi oportet, & ex tempore, et ex singulis additionibus.

ΠΡΟΓ. ιβ'

* Κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

Præsag. 12.

* Ita eadẽ quoq; ratiõe in mulieribus, morborum iudicia, à partu numeranda sunt.

ΠΡΟΓ. ιγ'

* Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες

Præsag. 13.

* Capitis in febre uehementes

©BIU Santé



νεχέες, ξὺν πυρετῷ. ἢν μέντοι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ, τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν, ἐς τὰ κάτω χωρία. ἔστ' ἂν δὲ καὶ ἡ ὀδύνη ἡ νεαρὰ, προσδέχεσθαι χρὴ ὡσαύτως, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν. ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ τὸ μέτωπον ᾖ.

hemẽtes, perpetuiq; dolores, accedente letaliũ notarum aliqua, ualde sunt perniciosi: si uerò nullo tali signo apparente, dicm uigesimũ dolor excesserit, neque febris conquiescat, ex naribus sanguinis fluorẽ, aut in partibus inferioribus abscessum expectabimus. Similiter dolori etiam recenti, sanguinis profusio ex naribus, aut suppuratio superuenire solet, præcipuè si dolor & tempora, & frontem infestauerit.

ΠΡΟΓ. ιδ'

* Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τὴν τοῦ αἵματος

Presag. 14.

* MAXIME uerò sanguinis fluxio expectanda



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 219 sur 669

©BIU Santé



αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι, πέντε καὶ τριήκοντα ἐτέων. τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκ πύησιν.

ΠΡΟΓ. ιε'

* Ὠτὸς δὲ ὀξείη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν, ἀπὸ πρώτης ἡμέρης.

ΠΡΟΓ. ις'

* ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τῆς

pectanda est in iuuenibus, qui quintum & trigesimum annũ nondum superauerunt, nam maioribus natu, suppuratio ferè oritur.

Præsag. 15.

* Auris dolor acutus cum febre non intermittente, uehementiq́; graue periculum minatur, nam et mentẽ turbat, et hominem rapit. Quum igitur anceps sit huius rei exitus, à primo protinus die omnib. signis accuratè animum adhibere oportet.

Præsag. 16.

* NAM ex eo casu iuniores quidem intra septimum diem, seniores uerò multo tardius

©BIU Santé



τέου τοῦ νοσήματος. οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. οὔτε γὰρ πυρεκτικοὶ καὶ αἱ παραφροσύναι, ὅσον αὐτέοισιν ἐπιγίνονται. καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν γε ῥυῇ πύον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤν γε καὶ ἄλλο τι ἀν, τέῳ ἐπιγένηται χρηστὸν σημεῖον.

ΠΡΟΓ.

dus moriuntur: quippe qui nō æquè magnas febres experiuntur, neque adeò insaniunt: proinde sustinere possunt donec suppuretur affectus. Quòd si morbus in hac ætate reuertatur, magna ex parte interficere solet. Sed iuniores antea quàm auris suppuretur, pereūt, nisi pus candidum ab ea defluens, securitatē polliceatur, præsertim ubi salutarium quoq; signorum aliquod apparet.

Præsag.

©BIU Santé



ΠΡΟΓ. ιζʹ

✻ Φάρυγξ δὲ ἑλκουμένη, σὺν πυρετῷ, δεινόν, ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

Præsag. 17.

✻ Neq; leuiter terreri debemus ubi febricitanti fauces exulcerantur: cui si aliud quoq; ex magnis quæ suprà declarauimus accesserit, in periculo hominẽ uersari, denuntiandũ est.

## DE ANGINA.

ΠΡΟΓ. ιηʹ

✻ Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι, μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι. πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι.

Præsag. 18.

✻ Angina, periculosissima est, celeriterque enecat, si neque in faucibus, neq; in ceruice quicquàm apparet, si dolor uehemens est, si uix spiritus trahitur: etenim eodem die iugulat, licet interdum usq; ad secundum, aut tertiũ, aut etiã quartum protrahatur.

©BIU Santé



ΠΡΟΓ. ιθʹ

❦ Ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιοῦσιν, ὀλέθριαι μὲν κάρτα.

Præſag. 19.

❦ Quæ uerò in reliquis quidem nō minore dolore afficit, in faucib. uerò tumorē ruborēq; excitat, ſuperiori nō minus periculoſa eſt, ſed longius ſpacium habebit, præcipuè ſi uehemens fuerit rubor.

ΠΡΟΓ. κʹ

❦ Χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται. ὁκόσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι. καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἢν ὅ, τε, αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ καὶ μὴ πάλιν δρομέῃ τὸ ἐρυσίπελας εἴσω.

Præſag. 20.

❦ Sed tum præcipuè malū prolongatur, quū non ſolū fauces, ſed ceruicem quoq; rubor occupat. maximè uerò poteſt ab ea ſecunda ualetudo contingere, ſi rubor ſimul & ceruicem & pectus comprehendat, neq; ad interna reuertatur eryſipelas.

©BIU Santé



## ΠΡΟΓ. κα´

❦ Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ, εὐδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει. ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος.

## ΠΡΟΓ. κβ´

❦ Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι, ἢν δὲ ἐς τὸν πνεύμονα τραπείη παράνοιάν τε ποιέει καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς τὰ πολλὰ γίνονται.

## Præsag. 21.

❦ Quũ uerò deletur erysipelas, sed nõ in decretorijs diebus, neq; in exteriores partes conuertitur tumor, neque pus screat æger, sed leuis et à dolore immunis uidetur, id aut mortem significat, aut dolorẽ reuersum.

## Presag. 22.

❦ Tutius est & tumorem & ruborem in externas maximè partes conuerti: si uerò ad pulmonem cõuersio fiat, demẽtiam excitabit, quanquàm nonnulli sic affecti magna ex parte suppurantur.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 224 sur 669

ΠΡΟΓ. κδ΄

Praesag. 23.

❦ Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι, καὶ ἀποτάμνεσθαι, καὶ ἀποσχίζεσθαι, ἐς ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι. καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ. ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω, λεπτότερον ἐν τουτέῳ τῷ καιρῷ, ἀσφαλὲς διαχει-

❦ Gurgulio si cum rubore tumescit, sine periculo praecidi non potest: etenim inflammatio, sanguinisq; profusio ei accedit. Proinde satius est alijs quibusdã auxilijs uti, quibus extenuari poßit. Quũ uerò pallidior efficitur, uua nominari solet: quòd sitũ ima eius pars crassa & rotũda, summa uerò tenuis uideatur, intrepidè praecidi debet. Satius tamẽ fuerit antea quàm manus

©BIU Santé



διαχειρίζειν. ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα χειρουργίῃ χρῆσθαι, ἢν ὅ,τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

*manus adhibeatur, aluũ uacuare, si tempus id ita pmittat, ut interim suffocatio hominẽ nõ præoccupet.*

ΠΡΟΓ. κδ´

## Præsag. 24.

❦ Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, μήτε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

❦ *Quibus febres, neque salutarib. notis apparentibus que in diebus decretorijs cõquiescunt, ij reuersionem timere debent.*

ΠΡΟΓ. κε´

## Præsag. 25.

❦ Ὅστις δ' ἂν τοῦ πυρετοῦ μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν

❦ *In longa febre, ex qua tamen æger liberari potest, si neq; ob inflammationem, neq; ob aliam*

©BIU Santé



φάσιν ἄλλην μηδεμίαν ἐμφανέα, τουτέω προσδέχεσθαι ἀπόστασιν μεθ' οἰδήματός τε καὶ ὀδύνης εἴς τι τῶν ἄρθρων, καὶ οὐχ ἥκιστα ἐκ τῶν κάτω.

ΠΡΟΓ. κς'

⁂ Μᾶλλον δὲ γίνονται καὶ ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

ΠΡΟΓ. κζ'

⁂ Ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ.

ΠΡΟΓ. κη'

⁂ Τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

aliam ullam manifestam causam, dolor infestat, aut tumidum aut dolorosum in articulis abscessum expectare oportet, præcipuè in imis partibus.

Præsag. 26.

⁂ Maximè uerò in his ætatibus quæ triginta annos non excesserunt, eiusmodi abscessus nasci consueuerunt, idque in tempore breuiori.

Præsag. 27.

ὁκόσοισι ψαμμοειδέα ὑφίσταται, ἢ πῶροι ἐν

QVIBVS IN urina ad arenularum similitudinem aliquid subsidit, seu pori, id est,

 tophi

©BIU Santé


ρῖσιν οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγγένετο πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ ἅτε οὐ ταχέως ἐκραγέντων τῶν φυμάτων, πῶροι συνετράφησαν ἐκ τοῦ πύου οἵτινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς, σὺν τῷ οὔρῳ ἐς τὴν κύστιν. ὁκόσοισι δὲ αἱματώδεα μὲν τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν. ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι, σαρκία μικρὰ τριχοειδέα συνέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν, εἰδέναι χρὴ ἐόντα καὶ ἀπὸ ἀρθριτικῶν. ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον, ἄλλοτε, καὶ ἄλλοτε, ὁκοῖον δὲ πίτυρα

ἐπιφέρε-

tophi lapilli, his tubercula ad crassam uenam enata sunt, atque suppuruerunt: deinde cum ea haud ita cito erũperentur, pori deuoluti ex pure per uenam, simul cũ urina in uesicã extrudũtur. Si urinæ cruẽtæ sũt, in uenis uitiũ est. Si urina quæ crassa est, habuerit ad effigiẽ capillamẽti carũculas admodũ minutas, signo est uitium esse in renib. et articularibus. Si pura & in summa urina ueluti furfures huc illucq; innatẽt, scire

ἐπιφέρεται ἐν τῷ οὐρήματι, τούτων ἡ κύστις ψωριᾷ.

*ſcire licet uesicæ ſcabiē ſubeſſe.*

## DE FEBRIBVS.

Οἱ πλεῖστοι τῶν πυρετῶν, γίνονται ἀπὸ χολῆς, εἴδεα δὲ σφέων εἰσὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων, τοῖσιν ἀποκεκριμένῃσιν. ὀνόματα δὲ αὐτέοισιν ἐστὶ, ξύνοχος. ἀμφημερινός. τριταῖος. τεταρταῖος. ὁ μὲν οὖν ξύνοχος καλεόμενος, γίνεται ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης. καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται· τὸ γὰρ σῶμα, οὐ διαψυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως,

*Magna ex parte febres à bile ſunt: genera earū quatuor ſunt, abſque illis quæ doloribus eueniunt. Nuncupantur autem, continens, quotidiana, tertiana, quartana. Continens, à copioſiſsima atque meraciſsima bile prouenit, & perquàm breui iudicatur: quoniam corpus à uehementi calore ferue factum, dum nullo temporis interuallo refrigeſcit, celeriter ſoluitur*

©BIU Santé



ἅτε ὑπὸ πολλοῦ τοῦ θερμοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν ξύνοχον, ἀπὸ πλείστης χολῆς γίνεται, καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. μακρότερος δέ ἐστι τοῦ ξυνόχου, ὁκόσῳ ἀπὸ ἐλάσσονος γίνεται χολῆς, καὶ ὅτι ἔχει ἀνάπαυσιν τὸ σῶμα, ἐν δὲ τῷ ξυνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος, μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ τῷ ἀμφημερινῷ, τὸ σῶμα διαναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. ὁ δὲ τεταρταῖος, τὰ μὲν

& absumitur. Quotidiana, secundum continentem à largißima bile est, & ex omnibus alijs citißimè euincitur. longior est continente, quo pauciore ex bile uenit: tũ quia corpus propter intermißionem requiescit: in cõtinente autem nullo unquã tẽpore quietẽ habet, quia nulla fit intercapedo. Tertiana, diuturnior est q̃ quotidiana, à minore bile accedit. quãto plus in tertiana quàm in quotidiana corpus requescit, tãto diuturnior est, quã quotidiana. Quartana alioquin

©BIU Santé


μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον. χρονιώτεροι δὲ μάλα τῶν τριταίων εἰσίν. ὁκόσῳ ἔλαττον τὸ μέρος μετέχουσι χολῆς, τῆς τὴν θερμασίην παρεχούσης, τοῦ τε διαψύχεσθαι τὸ σῶμα, πλεῖον μετέχουσι. προσγίνεται δὲ αὐτέοισιν, ἀπὸ μελαίνης χολῆς, τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον. μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν, γλισχρότατον, καὶ τὰς ἕδρας χρονιωτάτας ποιέεται. γνώσῃ δὲ ἐν τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρου γὰρ μάλιστα οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῶν τεταρταίων,

alioquin pari ratiõe longe diuturnior tertianis est: tum quia minus bilis habens æstũ afferentis, tum quia corpus amplius refrigescit, quod ab atra bile id superãtis materiæ ꝓficiscitur ac difficulter euellitur. Nã cum ea inter omnes corporis humores lentißima et glutinotißima sit: diuturniores sedes constituit. Q́d' autẽ febres quartanæ, atræ bilis participes sint, hac re tibi patebit ꝙ homines autũnali potißimũ tempore, &

©BIU Santé



ταίων. καὶ ἐν τῇ ἡλικίῃ, ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων, ἕως τῶν πέντε καὶ τεσσαράκοντα. ὅτι καὶ ἡ ἡλικίη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥτε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων ἐπιτηδειοτάτη. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης, ὑπὸ τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετὸν, ἢν μὴ ἄλλο τι κακοεργῆται ὁ ἄνθρωπος.

τέλος.

re, & in ætate uiginti quinq; annorum usq; ad quadragesimũ quintum annũ, quæ ex omnib. ætatibus: maximè atra bile detinetur, corripiuntur quartanis, quib. autumnus inter omnia alia anni tẽpora expositissimus est. Quos igitur ultra citráue id tẽpus ac eam ætatẽ quartana accesserit, pro cõperto habere debes hãc febrem minimè diuturnam fore, nisi quid aliud homini officiat.

FINIS.

HIPPO.

©BIU Santé



# ΙΠΠΟΚΡΑΤΟΥΣ

## Κῴου περὶ Διαίτης ὀξέων βιβλίον πρῶτον.

Οἱ ξυγγράψαντες τὰς κνιδίας καλεομένας γνώμας, ὁποῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νοσημάτων, ὀρθῶς ἔγραψαν, καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων, καὶ ἄχρι μὲν τουτέων καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πύθοιτο, ὁκοῖα πάσχουσιν. ὁκόσα

# HIPPOCRATIS

## Coi de ratiõe uictus in morbis acutis, seu de ptisana, liber primus, Guilielmo Copo Basiliensi interprete.

QVI Gnidias sententias, posteritati literis prodiderunt, quãuis in singulis morbis et affectus et accidẽtia quædam ægrorũ rectè quidẽ illi scripserint, tamẽ ea dũtaxat attigerunt, quæ nullo ferè negocio scriberet is quoque, qui medicinam non didicit, si laborantem accuratè super singulis affectionib. interrogaret,

©BIU Santé



ὁκόσα δὲ προκαταμαθεῖν χρὴ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πουλλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα, ἐς τέκμαρσιν. ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τουτέοισι, πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖνοι ἐπεξίεσαν. καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο. τὰ γὰρ πλεῖστα, αὐτέοισιν εἴρεαται, πλὴν τῶν ὀξειῶν νούσων, φάρμακα ἐλατήρια διδόναι, καὶ ὀῤῥὸν, καὶ γάλα ἐς τὴν ὥρην πιπίσκειν. ἢν μὲν οὖν ταῦτα ἀγαθὰ

quippe multa, quæ non referente ægro, medicũ prænoſcere neceſſe eſt, preterierunt. Atq; in alijs quidem alia, quorũ nõnulla nõ mediocrẽ ad coniecturas cõmoditatẽ habere uidentur. Igitur de his quæ uel ad coniecturã, uel ad curationis rationẽ pertinent, equidem lõgè aliter atq; illi enarrauerũt, ſentiendũ puto. Quapropter eos haudquaq̃ laudauero, idq; nõ ſolũ ob hãc cauſam: uerũ etiã q̃ paucis admodũ medicamentis uſi ſunt. Nam præter ea quæ de acutis morbis præcipiũt, hæc dũtaxat tradiderunt, elaterium, ſerum, & lactis ſuo tempore potionem. Quæ ſi

©BIU Santé



ἀγαθὰ ἦν καὶ ἁρμόζον-
τα τοῖσι νουσήμασιν ἐφ'
οἷσι περὶ ἑκάστου διδόναι,
πολὺ ἂν ἀξιώτερα ἐ-
παίνου ἦν· ὅτι ὀλίγα ἐ-
όντα αὐτάρκεά ἐστι. νῦν
δὲ οὐχ οὕτως ἔχει. οἱ μὲν
ὦν ὕστερον ἐπιδιασκευ-
άσαντες ἰητρικώτερον
δή τι ἐπῆλθον περὶ
τῶν προσοιστέων ἑκάστοι-
σιν. ἀτὰρ οὐδὲ περὶ
διαίτης οἱ ἀρχαῖοι ξυ-
νέγραψαν οὐδὲν ἄξιον
λόγου, καίτοι μέγα τοῦτο
παρῆκαν. τὰς μέντοι πο-
λυτροπίας τὰς ἐν ἑκά-
στῃ τῶν νούσων, καὶ τὴν
πολυσχιδίην αὐτέων,
οὐκ ἠγνόουν ἔνιοι. τοὺς δὲ
ἀριθμοὺς ἑκάστου τῶν νου-
σημάτων σάφα φρά-
ζειν ἐθέλοντες, οὐκ ὀρ-
θῶς

ſatis efficacia ad morbo-
rũ curationẽ eſſent, ipſi
ſumma laude fuiſſet ex-
tollendi, utpote q̃ pauca
admodũ, ſed quib. nihil
deeſſet, præſcripſiſſent.
Id uerò lõgè abeſt à ue-
ritate. Proinde poſterio-
res, ſuſcepto corrigẽdi
munere, medica magis
uia, ea quæ ſingulis exhi-
bẽda ſunt, inſtituere tẽ-
tauerunt. Etenim de ui-
ctus ratione, ueteres ni-
hil penè ſcripſerũt, ſed
hãc partẽ haudquaquã
contẽnendã præteriiſſe
uidẽtur, quãuis nõnulli
ſingulorum morborum
uarietates, multifidosq́;
ipſorũ modos non igno-
rarent. Quinetiã in hoc
peccauerunt, q̃ omnium
morborũ numerũ mani-

©BIU Santé



θῶς ἔγραψαν. μὴ γὰρ οὐκ εὐαρίθμητον εἴη, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τὸ ἕτερον τοῦ ἑτέρου διαφέρειν τι. καὶ μὴ τωὐτὸ νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχῃ. ἐμοὶ δ᾽ ἀνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα δίκαια καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς. καὶ ὁκόσα ταχέως ἔργα, ταχέως. καὶ ὁκόσα καθαρίως, καθαρίως. καὶ ὁκόσα ἀνωδύνως διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν. καὶ τ᾽ ἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας, ἐπὶ τὸ βέλτιον ποιέειν χρή. μάλιστα

feste deprehendere conati sunt: id uerò perdifficile est, si inde coniecturam feceris, quòd morbi inter se differũt, nullusq; sit idẽ morbus, nisi idẽ quoq; nomẽ sortiatur. Mihi uerò placuit uniuersæ huic artis mentem adhibere, ut enarrata in ipsa singula officia, probè perficiantur, & quæ celeritatem desyderãt, celeriter, & quæ puritatẽ, pure: & quib: dolor accedere nõ debet, ea iucundißimè tractentur, ac reliqua id genus omnia secundum hunc modũ, qui à proximo illo planè abhorret, in meliorem formam redigantur. Quocirca illum

©BIU Santé



δὲ ἂν ἐπαινέσαιμι ἰη-
τρὸν, ὅς τις ἐν τοῖσιν
ὀξέσι νοσήμασιν, ἃ τοὺς
πλείστους τῶν ἀνθρώπων
κτείνει, ἐν τουτέοισι
διαφέρων τι τῶν ἄλ-
λων εἴη περὶ τὸ βέλτιον.
ἔστι δὲ ταῦτα ὀξέα, ὁ-
κοῖα ὠνόμασαν οἱ ἀρ-
χαῖοι, πλευρῖτιν. καὶ
περιπλευμονίην. καὶ
φρενῖτιν. καὶ λήθαρ-
γον. καὶ καῦσον. καὶ τ'
ἄλλα νοσήματα, ὁκό-
σα τουτέων ἐχόμενά
ἐστιν. ὧν οἱ πυρετοὶ τὸ ἐπί-
παν ξυνεχέες ὄντες,
κτείνουσιν. ὅταν γὰρ
μὴ λοιμώδεος νόσου τρό-
πος τις κοινὸς ἐπιδη-
μήσῃ, ἀλλὰ σποράδε-
ες ἔωσιν αἱ νόσοι καὶ
μὴ παραπλήσιοι, ὑπὸ τουτέων τῶν νουσημάτων
ἀποθνή

illum medicũ in primis
laudandum putauerim,
qui in acutis morbis, ea
quæ plures enecare so-
lẽt, lõgè diuersa ab alijs
ratione, in melius com-
mutare potest. Igitur hi
sunt acuti morbi, quos
ueteres uocauerunt co-
stalem, peripneumoni-
am, insaniam, lethar-
gum, ardorem, & si qui
alij illos sequantur, in-
ter quos omnino febres
continuæ ægrum inter-
ficiunt. Quum enim
nullum commune pesti-
lẽtis morbi genus gras-
satur, sed dispersi dißi-
milesq; fuerint morbi,
ij magis

©BIU Santé



ἀποθνήσκουσι μᾶλλον, ἢ ὑπὸ τῶν ἄλλων τῶν ξυμπάντων. οἱ μὲν οὖν ἰδιῶται, οὐ κάρτα γινώσκουσι τοὺς εἰς ταῦτα διαφέροντας τῶν πέλας, ἑτεροίων τε μᾶλλον ἰημάτων ἐπαινέται εἰσὶ ψέκται εἰσίν. ἔπειτα μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται, ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσίν, ὥστε μελετητέα εἶναι. οἱ γοῦν μὴ ἰητροὶ, ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους· ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν ὁκοῖα νενόμισται προσφέρεσθαι πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας. ἢν γὰρ ὀνομάσοι τις πτισάνης

ij magis quã reliqui omnes hominẽ perimere solẽt. Idiotæ uerò, quod ad huiusmodi morbos pertinet, sicut nequeũt quantum quisq; à proximo differat, discernere. Ita modo has, modo illas curationis formas, aut laudant, aut uituperant. Cuius rei haud mediocre indiciũ est, quòd horũ morborũ curandi rationem populares, ut pote rudes, omnino ignorãt: medicos enim arbitrãtur esse eos q̃ medici non sunt, maximè ubi dictorũ morborũ genus aliquod inciderit: facilè enim est apud ægros nomina usu cõprobata proferre: quippe si aut ptisana

©BIU Santé



σάνης χυλὸν, ἢ οἶνον
κιῤῥὸν, ἢ κιῤῥὸν, ἢ καὶ μελί-
κρητον, ἅπαντα τοῖσι
δημότῃσι δοκέουσιν ἰη-
τροὶ ταῦτα λέγειν, οἵ τε
βελτίους, καὶ οἱ χείρους. τὰ
δ' οὐχ οὕτως ἔχει, ἀλλ' ἐν
κοινέοισι δὴ, καὶ πάνυ
μέγα διαφέρουσιν ἕτε-
ροι ἑτέρων. δοκέει δέ
μοι ἄξια γραφῆς εἶ-
ναι ταῦτα μάλιστα, ὁ-
κόσα τε ἀκαταμάθη-
τά ἐστι τοῖσιν ἰητροῖσιν,
ἐπίκαιρα ἐόντα εἰδέ-
ναι, καὶ ὁκόσα μεγά-
λας ὠφελείας φέρει, ἢ
μεγάλας βλάβας. ἀ-
καταμάθητα μὲν οὖν,
τάδε ἐστί. διατί ἄρα ἐν
τῇσιν ὀξείῃσι νούσοι-
σιν, οἱ μὲν τῶν ἰητρῶν,
ἅπαντα τὸν αἰῶνα
διατε-

*ſanæ cremorem, aut ui-
num aliquod, aut aquã
mulſam quis nominaue
rit, uulgares hæc eadem
apud medicos, tũ præ-
ſtantiores, tum deterio-
res ſine ullo diſcrimine
in uſum uenire exiſti-
mant. uerum ecõtrario
res ſeſe habet: nam lon
go interuallo, quantum
ad iam propoſita atti-
net, inter ſe diſsident.
Igitur ſcribere aggredi
or, in primis ea, quæ quã
uis ſcitu utilia ſint, tamẽ
à medicis ignorantur,
deinde ea quoque quæ
magnopere uel iuuare,
uel lædere cõſueuerũt.
Quæ ignorãtur hæc fe-
rè ſunt. Cur alij qui-
dem medici nõ colatam*

©BIU Santé



διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν. οἱ δέ τινες, περὶ παντὸς ποιοῦνται, ὅκως κριθὴν μηδεμίην καταπίνῃ ὁ κάμνων. μεγάλην γὰρ βλάβην ἡγεῦνται εἶναι, ἀλλὰ δι' ὀθονίου διηθεύοντες τὸν χυλὸν, διδόασιν. οἱ δ' αὖ τινες αὐτέων, οὔτ' ἂν πτισάνην παχείην δοῖεν, οὔτε χυλόν. οἱ μὲν, μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων. οἱ δὲ καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος. μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται, καί

ptisanã perpetuo exhibentes, minimè se errare putãt: alij verò omnino præcipiũt, ut ne hordeum quidem ullum laborans deuoret, magnã inde noxã timẽtes, sed per lintheum colatũ cremorem exhibent. Sunt qui neq; crassiorem ptisanam, neque succũ eius dandum censeant, idq; alij usque ad septimum diẽ, alij donec finiatur morb. Sanè huiuscemodi quæstiões, medici neque ꝑponere, neq; propositas explicare cõsueuerunt. Quã ob rem populares graui admodũ calumnia

τοι

©BIU Santé



τοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι. ὥστε εἴ γε ἐν τοῖσιν ὀξέσι τῶν νοσημάτων, τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρωνάκται, ὥς τε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον, κακὰ εἶναι. καὶ σχεδὸν ἂν κατά γε τὸ τοιόνδε, τὴν τέχνην φαίην ὁμοιῶσθαι μαντικῇ. ὅτι οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι. εἰ δὲ δεξιὸς, κακόν. καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε ἄλλα ἐπ' ἄλλοισιν. ἀλλ' ἔνιοι τῶν μαντέων,

calumnia uniuersam artem damnant, perinde ac si nulla, uideatur esse medicinæ professio. Tanta enim est artificũ inter se pugna, ut quod unus saluberrimum, id alter protinus perniciosum esse cõtendant. Atque hac ratione factum est, ut diuinationi ferè ars ipsa cõparetur. Siquidem augures, eandẽ auem, ad sinistram quidem faustã, ad dextram uerò infelicẽ esse putãt. Similiter ubi uictimarũ exta inspectantur, talia quædam inueniri solẽt, à quibus

©BIU Santé



τἀναντία τουτέων. φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα, καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ, καὶ ἐπικαιροτάτοισι. καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται, καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην, καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην, καὶ ἐς ὅ,τι ἂν ἕκαστος ἐθέλοι.

à quibus deinde uatum nonnulli omnino dissentiũt. Hanc perpensionẽ, tũ honestissimã esse, tũ cognatione quadã, plurimis, eisdẽq; perquàm utilibus in arte rebus, cõuenire dixerim: utpote quæ ægris uniuersis, magna quadam ui, sanitatem, sanis securitatẽ, exercitantib. bonũ habitũ, et quicqd aliud quoq; uolueris, pollicetur.

## DE PTISANA.

Πτισάνη μὲν οὖν δοκέει ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων, ἐν τουτέοισι τοῖσι νουσήμασι. καὶ ἐπαινέω γε τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτῆς, λεῖον, καὶ

Igitur ptisana in his morbis, cæteris quæ ex frugibus constant pulmentarijs, mea quidem sententia, rectissimè antefertur, neque mediocri laude efferendi sunt ij, qui eam anteponere decreuerunt. Nam uiscositas eius lenis, continua

©BIU Santé



ξυνεχές. καὶ προσηνές ἐστι. καὶ ὀλισθηρόν. καὶ πλαδαρὸν μετρίως. καὶ ἄδιψον. καὶ εὐέκπλυτον, εἴ τινι καὶ τούτου προσδέοι. καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακόν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ὁκόσοι μὲν οὖν πτισάνῃ χρέωνται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδὲ μιῇ ἡμέρῃ κενεαγγητέον ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ, ἢ διὰ φαρμακίην, ἢ κλύσιν διαλείπειν. καὶ τοῖσι μὲν γε εἰθισμένοισι, δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς

nua, iucunda, lubrica & modicè laxa est, sitim arcet, & ubi ablutione opus est, facilè descendit, nõ astringit, nõ uellicat grauiter, neque in uentre tumescit, quippe quum decoqueretur, tumuit. quantum maximè tumescere potuit. Caeterum qui in huiusmodi morbis ptisana utũtur, ne una quidẽ die uenas, ut ita dicam cõcidere sinant, sed ab eius usu nequaquam desistant, nisi aut medicamentum aut clyster id impediat. Proinde qui bis die cibũ ex consuetudine sumũt, bis quoque ptisana eis exhibenda.

©BIU Santé



δοτέον. τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν, ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δέ. ἢν δὲ ἐνδέχηται, τουτέοισιν καὶ δὶς δοτέον ἤν τι δοκέῃ προσδεῖν. πλῆθος δὲ ἀρκέει κατ' ἀρχὰς διδόναι, μὴ πολὺ, μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκεν τοῦ ἔθεος ἐσιέναι τι, καὶ κεναγγίην μὴ γενέσθαι πολλήν. περὶ δὲ τῆς ἐπιδόσιος εἰς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα, ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος, ἢ μελίκρητον, ἢ οἶνον, ἢ ὁκότερον ἂν ἁρμόζῃ. τὸ δ' ἁρμόττ-

τον

exhibenda est. Qui verò semel dũtaxat, ijs primo quidẽ die semel tantũ detur, facta tamẽ additiõe. Quòd si fieri potest, bis quoq; exhibeatur, ubi uidelicet res ita expostulare uidetur. At in principio neq; multã, neq; crassam dare, sed aliquod tũ cõsuetudinis gratia, tum etiã ne uenæ cõcidant, ingerere cõuenit. Sed de sorbitiõis incremẽto animaduertendũ est. Nã si q̃ aridißimũ esse cõieceris morbum, haud ita multum ipsius dare oportet: sed ante sorbitionem, aut aquam mulsam, aut uinũ, utrum magis profuturum existimaueris, propinare:

utriusq;

©BIU Santé


πυρέφ' ἑκάστοισι τῶν ῥό-
πωμ εἰρήσεται. ἢν δ' ὑ-
γραίνηται τὸ στόμα, καὶ
τὰ ἀπὸ τοῦ πλεύμονος
εἴη, ὁκοῖα δεῖ, ἐπιδιδό-
ναι χρὴ ὡς πλῆθος τοῦ
ῥοφήματος, ὡς ἐν κεφα-
λαίῳ εἰρῆσθαι. τὰ μὲν
γὰρ θᾶσσον καὶ μᾶλλον
πλαδῶντα, ταχυτῆτα
κρίσιος σημαίνει. τὰ δὲ
βραδύτερον καὶ ἧσσον,
βραδυτέραν σημαίνει
τὴν κρίσιν. καὶ ταῦτα
αὐτὰ μὲν καθ' ἑαυτὰ τοιά-
δε τὸ ἐπίπαν ἐστί. πολ-
λὰ δὲ καὶ ἄλλα ἐπί-
καιρα παρεῖται, οἷσι
προσημαίνεσθαι δεῖ,
ἃ εἰρήσεται ὕστερον.
καὶ ὁκόσῳ ἂν πλεί-
ων ἡ κάθαρσις γίνηται,
τοσῷδε χρὴ πλέον

utriusque uerò usum in
singulis affectiõibus po
stea dicemus. At si humi
dum fuerit os, & quæ à
pulmone excernũtur de
bitã qualitatẽ seruaue-
rint, augẽda est, ut sum-
matim dicã, sorbitionis
quãtitas: quippe quo co
piosior, citatior'que hu
mor apparuerit, eo ma
turiorem: quo uerò tar
dior, minor'que, tardio
rem morbi finẽ denun-
ciat. Verũ hæc ipsa per
se magna ex parte talia
deprehenduntur: multa
uerò haud inutilia à qui
bus coniecturas capere
oportet, hic omisimus,
de ipsis postea dicturi.
Cæterum quo copiosior
fuerit purgatio, eò cibũ
oportet esse auctiorem,

©BIU Santé


ἐπιδιδόναι ἄχρι κρί-
σιος. μάλιστα δὲ κρίσιος
ὑπερβολὴ, δύο ἡμερέ-
ων, οἷσί γε ἢ πεμπταί-
οισιν ἢ ἑβδομαίοισιν, ἢ
ἐναταίοισι δοκέει κρίνε-
σθαι, ὡς καὶ τὸ ἄρτιον καὶ
τὸ περισσὸν, προμηθὲς
ἦ. μετὰ δὲ τοῦτο τῷ μὲν ῥο-
φήματι ἐς τὸ πρωῒ χρη-
στέον, ἐς ὀψὲ δὲ ἐς σιτία
μεταβάλλειν. ξυμφέρει
δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ
πολὺ τοῖσιν ὅλησι πτι-
σάνῃσιν αὐτίκα χρεο-
μένοισιν. αἵ τε γὰρ ὀδύ-
ναι ἐν τοῖσι πλευριτι-
κοῖσιν, αὐτίκα αὐτόμα-
τοι παύονται, ὅταν ἄρ-
ξωνται πτύειν τι ἄξιον
λόγου καὶ ἐκκαθαίρε-
σθαι. αἵ τε καθάρσιες
πολλῷ τελεώτεραι εἰ-

idq; usq; ad morbi iudi-
cationẽ, cuius impetus
magna ex parte duos
dies nõ excedit, ubi uel
quinto, uel ſeptimo, uel
nono die morbus finiri
debet: quocirca & pa-
res, et impares dies ac-
curate perpẽdere opor
tet. His ita cognitis, ſor-
bitionẽ matutino quidẽ
tempore exhibe, ueſpe
re aũt ad alios etiãnum
cibos tranſire poteris.
Huiuſcemodi igitur in-
ſtitutio, magna ex parte
iuuat eos, qui protinus
ab initio tota utũtur pti
ſana. Quũ itaq; pleuriti
ci aliquid notatu dignũ
ſcreare & expurgare
cœperint, dolores ipſo-
rum ilico ſua ſpõte deſi
nũt. Quinetiã purgationes hoc pacto lõge pfectio-

©BIU Santé



σι, καὶ ἔμπυοι ἧττον γίνονται, ἢ εἰ ἀλλοιώς τις διαιτῷτο. καὶ αἱ κρίσιες ἁπλούστεραι, καὶ εὐκριτώτεραι, καὶ ἧσσον ὑποστροφώδεες. τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων ὡς βελτίστων εἶναι, καὶ κάλλιστα ἑψῆσθαι, καὶ ἄλλως, ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς, τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην, ποιεῖ μὴ βλάπτειν. οὐδαμοῦ γὰρ προσίσχεται. οὐδὲ μένει κατὰ τὴν τοῦ θώρακος ἴξιν. ὀλισθηροτάτη δὲ, καὶ ἀδιψοτάτη, καὶ εὐπεπτοτάτη, καὶ ἀσθενεστάτη ἐστὶν,

res sunt, minusq; suppuratione afficiuntur, quàm si aliena uictus ratiõe educarentur. insuper iudicatiões simpliciores, faciliores q; fiũt, neq; tã facile morbi reuertuntur. Sanè ptisanã ex hordeo quà optimo facere, & eam probe concoquere oportet: idq; præsertim si non solo cremore uti decreueris. Sic enim præter reliquas ptisanæ cõmoditates, lubricitas eius ꝓhibebit, ne inter deuorandũ noxã inferat hordeũ, neq; enim adhærebit, neq; per thoracẽ transeũdo morã faciet. Quũ enim studiose coquitur, perq̃ lubrica euadit, sitim nequaq̃ ex-

©BIU Santé



ἢ κάλλιστα ἑφθῇ, ὧν
πάντων δεῖ. ἢν οὖν μὴ
προσιμωρήσῃ τὶς ὁκό
σων δεῖται, αὐτάρ-
κης εἶναι ὁ τρόπος τῆς
τοιαύτης πτισανορ-
ροφίης, πολλαχῇ βε-
βλάψεται. ὁκόσοισι
γὰρ σῖτος αὐτίκα ἐγκα
τακέκλισαι, ἢν μή τις
ὑποκενώσας τὸ ῥόφη-
μα δῴη, τὴν ὀδύνην
ἐνεοῦσαν προσπαροξύ
νειεν ἄν. καὶ μὴ ἐνεοῦσαν
εὐθὺς ποιήσειεν. καὶ
πνεῦμα πυκνότερον
γένοιτ' ἄν. κακὸν δὲ τοῦ
το ἐστι, ξηραντικὸν γὰρ
πλεύμονος. καὶ κοπώ-
δες ὑποχονδρίων. καὶ
ἤτρου. καὶ φρενῶν. τοῦτο
δὲ, ἢν ἔτι τῆς ὀδύνης τοῦ
πλευροῦ ξυνεχέος ἐού-
σης,

citat, atq; ut facilimè cō
coquitur, ita imbecillißi
ma est: quib. nimirū o-
mnibus indigemus. At
nisi exquisita fuerit hu-
iusmodi sorbitionis præ
paratio, adeò ut nihil
desit, quo minus expe-
ctatū auxiliū præstet, no
xia sæpenumero effici-
tur. Etenim quib. cibus
recens cōclusus est, si eo
nō uacuato, sorbitio de-
tur dolor iā instans irri
tabitur: aut si dolor non
est, protinus inducetur,
spiritus reddetur q̃ fre-
quētißimus, id q̃ nō me
diocre malū est. nā pul-
mo exiccatur, et præcor
dia, abdomē, atq; septū
trāsuersum dolore cru-
ciātur. Quinetiā ubi la-
teris dolor cōtinuus est,

©BIU Santé



στης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης. καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀπέπτως. ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα ταμὼν, ἢ ὁκότερον ἂν τουτέων ξυμφέρῃ. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῷς, ταχέως οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρώμενοι, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν. οἱ μέν τοι, καὶ τὴν γνώμην βλαβέντες. οἱ δὲ, ὑπὸ τῆς ὀρθο-

atq; calidis fomĕtis non leuatur, neque procedit sputum, sed lentum, & incoctum est, si tum neque alui ductione, neq; sanguinis mißione, si horum auxiliorum alterutrum cõferre uideatur, dolorem solueris, sed ptisanam sic affectis exhibueris: nihil obstabit quo minus præcipiti morte rapiantur. Itaq; ob has causas, atque id genus alias, qui totam ptisanam ingerunt, uel septimo die, uel citius moriuntur, ac alij quidĕ dementes, alij uerò à spiritus

©BIU Santé


ὀρθοπνοίης τε καὶ τοῦ
ῥέγχεος ἀποπνιγέν-
τες. μάλα δὲ τοὺς τοιου-
τέους οἱ ἀρχαῖοι βλη-
τοὺς ἐνόμιζον εἶναι, διὰ
τόδε μάλιστα. οὐχ ἥκι-
στα δὲ ὅτι καὶ ἀποθανόν-
των αὐτέων, ἡ πλευ-
ρὴ πελίη εὑρίσκεται,
ἰκελόντι πληγῇ. αἴ-
τιον δὲ τουτέου, τόδε
ἐστιν, ὅτι πρὶν λυθῆναι
τὴν ὀδύνην, θνήσκου-
σι. ταχέως γὰρ πνευ-
ματίαι γίνονται· ὑπὸ
δὲ τοῦ πολλοῦ, καὶ πυ-
κνοῦ πνεύματος ὡς
ἤδη εἴρηται κατεγλι-
σχραινόμενον τὸ πτύε-
λον ἄπεπτως, κωλύει
τὴν ἐπάνοδον γίνε-
σθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει, ἐνισχόμενον ἐν
τοῖσιν

spiritus difficultate ster-
tentes suffocātur. Pro-
inde uetustißimi, eos sy-
deratos esse putabāt, cū
ob eas quas modo com
memorauimus causas,
tum uerò quòd mortuis, la
tus liuore affectū ad pla
gæ similitudinē uideba-
tur. Cuius rei causa est,
quòd perseuerante ad-
huc dolore, mors ipsos
præoccupat: citantur e-
nim spirationes. Ex mul
ta uerò frequētiq; spira
tione, ut diximus, spu-
tum incoctū, uiscosumq;
factum non procedit:
sed in pulmonis meati-
bus

©BIU Santé



τοῖσιν βρογχίοισι τοῦ
πλεύμονος. καὶ ὁκόταν
ἐς ταυτὸ ἔλθῃ, θανατῶ-
δες ἤδη ὡς ἐπὶ τὸ πο-
λύ ἐστί. καὶ γὰρ αὐτὸ τὸ
πτύελον ἐνισχόμενον,
κωλύει μὴ τὸ πνεῦμα
εἴσω φέρεσθαι. ἀναγ-
κάζει δὲ ταχέως ἔξω φέ-
ρεσθαι. καὶ οὕτως ἐς τὸ κα-
κὸν ἀλλήλοισι τιμο-
ρέουσι. τό, τε γὰρ πτύε-
λον ἐνισχόμενον, πυ-
κνὸν τὸ πνεῦμα ποι-
έει. τό, τε πνεῦμα
πυκνὸν ἐὸν, ἐπιλιγ-
σχραίνει τὸ πτύελον.
καὶ κωλύει ἀπολισ-
θαίνειν. καταλαμβάνει
δὲ ταῦτα οὐ μόνον ἢν
πτισάνῃ ἀκαίρως χρέ-
ωνται, ἀλλὰ πολὺ μᾶλ-
λον, ἤν τι ἄλλο φάγω-
σιν

bus retẽtum, ſtertorem
efficit. Quum itaque ad
hoc difficultatis perue-
nerit, magna ex parte
mortiferum eſſe conſue
uit. Quippe retentum
ſputum, probibet aëris
ad interna lationẽ, ip-
ſumq́; celeriter egredi
cogit. Quo fit, ut uiciſ-
ſim alterum ab altero
male afficiatur: ſiquidẽ
retentum ſputum, ſpiri-
tum frequẽtem reddit:
ſpiritus autem frequẽs,
ſputum ſic facit uiſco-
ſum, ut elabi non poſ-
ſit. Solent uerò ea, quæ
ſuprà diximus, accide-
re, non ſolum ob pti-
ſanam importunè ſum-
ptam, uerumetiã multo
magis, ſi quid aliud eda
tur,

©BIU Santé



σιν ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον. μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι, τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέων, τοῖσί τε μήθ' ἑτέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνον. ἔστι δ' ὅπῃ καὶ διαφερόντως τιμωρητέον. χρὴ δὲ τόγε πάμπαν οὕτω ποιέειν. ἢν νεοβρῶτι ἐόντι αὐτέῳ καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ, ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἐς ὃ ἂν οἴηται κεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου

tur, uel bibatur, quod sit ptisana deterius. Ergò easdē ferè cōmoditates magna ex parte adipiscūtur, & ij qui tota ptisana, et qui succo ipsius, quiq; neutro horum, sed potione duntaxat utuntur. Atq; accidit interdum ut diuersæ sint singulorum cōmoditates. Id uerò omnino obseruandum est. Si quempiam qui non ita dudum cibum accepit, nec alui adhuc onera deiecit, febris unà cū dolore, uel etiam sine dolore corripuit, sorbitio danda non est, donec coniecceris cibum ad imas inte-

©BIU Santé



τέρου τὸ σιτίον. χρέεσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι. χειμῶνος μὲν θερμῷ. θέρεος δὲ, ψυχρῷ. ἢν δὲ πολλὴ δίψα εἴη, μελικρήτῳ καὶ ὕδατι, ἔπειτα μέντοι, ἢν ἄλγημά τι ἐνῇ, ἢ τῶν κινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα, μήτε πολὺ, μήτε παχὺ, μετὰ δὲ τὴν ἑβδόμην ἢ ἐνάτην, ἢν ἰσχύῃ. ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι.

ἢν

stinorum partes descendisse. Infestante itaque dolore, potui dandum est oxymel, hyeme quidem calidum, æstate uerò frigidum. Sed ubi sitis uehementer cruciat, & aquam mulsam, & aquã ipsam dare conuenit. Deinde si uel dolor, uel periculum aliquod aliud imminet, dãda est sorbitio, sed neq; multa, neq; crassa, ac ne id quidẽ priusquã dies septimus præterierit, si uires ægri sufficiant. Illi qui nuper cibum accepit, si uires ualent, & uiget ætas, clyster immitti debet, si cibus iãpridẽ sumptus, nondũ descẽderit.

Imbecillo

©BIU Santé



ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος, τόνδε μάλιστα φυλάσσεσθαι, κατ᾽ ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος. ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν. μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι. ὁκόταν δὲ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι. καὶ νομίζειν μάλα δύνασθαι τὸν καιρὸν τοῦτον μὲν ἁπάσῃσι τῇσι νούσῃσιν. οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξείῃσι. μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι

Imbecillo autem glandem supponere oportet, nisi sponte deiectio sequuta est. Sanè tempus exhibendæ sorbitionis, tum ab initio, tum per totum morbi decursum summopere obseruandum est, etenim pedibus frigore affectis, non solum à sorbitione, uerumetiam à potione maximè abstinendum est: sed tum dabimus et sorbitionem & potionem, quum calor ad pedes usque peruenerit Nam hoc tempus quàm maximè opportunum est, cum in omnibus morbis, tum præcipuè in acutis, potissimum ubi febris & periculum

©BIU Santé



δέεσι καὶ ἐπικινδυνοτάτῃσι. χρῆσθαι δὲ πρῶτον μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ, πτισάνῃ, κατὰ τὰ τεκμήρια προγεγραμμένα ἀκριβῶς θεωρῶν.

*culum uehemẽs subest. Proinde si accurate, ea quæ suprà ꝓposita sunt animaduerteris, in primis ptisanæ cremorem, deinde ipsam quoq; ptisanam dare curabis.*

# ΙΠΠΟΚΡΑΤΟΥΣ

## Κῴου περὶ διαίτης ὀξέων βιβλίον δεύτερον.

Ὀδύνη δὲ πλευροῦ ἤν τε κατ' ἀρχὰς γίνηται, ἤν τε ἐς ὕστερον, θερμάσμασι μὲν πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον, πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. θερμασμάτων

# HIPPOCRATIS

## *Coi de ratione uictus in morbis acutis, Liber II.*

*Lateris dolorẽ, siue is ꝓtinus à principio, siue postea obortus est, non ab re fuerit tentare, tepidis somẽtis dissoluere. Calorifico au*

©BIU Santé



δὲ, κράτιστον μὲν ὕδωρ
θερμὸν ἐν ἀσκῷ, ἢ ἐν κύ
στει, ἢ ἐν χαλκῷ ἀγγείῳ,
ἢ ἐν ὀστρακίνῳ. προϋ-
ποτιθέναι δὲ χρὴ, μαλ-
θακόν τι πρὸς τὴν πλευ
ρὴν, προσηνείης εἵνε-
κεν. ἀγαθὸν δὲ καὶ σπόγ
γος μαλθακὸς, μέγας,
ἐξ ὕδατος θερμοῦ ἐκπε
πιεσμένος προστίθε-
σθαι. περιστέγειν δὲ ἱμα
τίῳ τὴν θάλψιν χρή.
πλείω τε γὰρ χρόνον
ἂν διαρκέσοι καὶ παρα-
μενεῖ, καὶ ἅμα ὡς μὴ ἀτ
μὶς πρὸς τὸ πνεῦμα τοῦ
κάμνοντος προσφέ
ρηται. ἢν ἄρα μὴ δο-
κέῃ καὶ τοῦτο χρήσιμον
πρός τι εἶναι. ἔστι γὰρ ὅ-
τε δέει πρός τι. ἔτι δὲ
καὶ κριθαὶ καὶ ὄρο-
βοι ἐν ὄξει κεκρημέ-

*tem fomento, quo aqua
calida in utre, uesica, uel
uasculo æreo, aut testa-
ceo adhibetur, nullum
aliud præstātius est, sed
molle aliquod. Quo iu-
cundius fiat fomentum:
prius lateri apponendū
est. Quinetiā utiliter ad
hibetur spōgia magna,
mollisq; ex aqua calida
expressa. Vestiendū ue-
rò fomentū est, ut neque
uis eius celeriter delea-
tur, euanescatq;, neq; ni
dor ad ægri spiritū per
tingat, nisi fortaßis u-
sum quendam præsta-
re uideatur: nam inter-
dū nonnihil utilitatis in
ipso deprehenditur.
Ad hæc hordeū & eru-
um, in aceto ita tēpera
to,*

©BIU Santé



νω, σμικρῷ ὀξύτε-
ρον ἢ ὡς ἄν τις πίοι, δι-
έντα καὶ ἀναζέσαντα, ἐς
μαρσίππιά τε ἀποβρέ-
ψαντα, προστιθέναι. ἢ
πίτυρα τὸν αὐτὸν τρό-
πον. πυρίη δὲ ξηρὴ, ἅ-
λες, κέγχροι πεφρυ-
γμένοι ἐν εἰρινέοισι μαρ
σιππίοισιν ἐπιτηδειό-
τατοι. καὶ γὰρ κοῦφον
καὶ προσηνὲς ὁ κέγ-
χρος. λύει δὲ μάλθαξις
ἡ τοιήδε, καὶ τὰς πρὸς
κληῗδας περαιούσας
ἀλγηδόνας. τομὴ μέν-
τοι γε οὐχ ὁμοίως λύει
ὀδύνην, ἢν μὴ πρὸς
τὴν κληῗδα περαί-
νῃ, ἡ ὀδύνη. ἢν δὲ μὴ
λύηται πρὸς τὰ θερ-
μάσματα ὁ πόνος,
οὐ χρὴ πολὺν χρόνον
θερμαί-

to, ut paulò acidius sit,
quàm ut ipsum bibere
quis poßit, maceratur,
feruentq́; , deinde mar-
supio iniecta adhiben-
tur. Nec secus de sursu-
re quoq; sentiẽdum est.
Arida autẽ fomenta ex
sale, milio que fricto re-
ctißimè in laneis marsu
pijs apponũtur: etenim
miliũ & leue est, & iu-
cundũ. Sanè dolores ad
iugulũ usq; extensos, hu
iusmodi fomentũ discu
tit. Sectio autem, nisi iu
gulum quoq; dolor com
prehendat: haud æqua-
lem in doloris discußio
ne obtinet facultatem.
Vbi fomentis dolor se-
datus nõ est, nõ diutius

T 2 calorifi-

©BIU Santé



θερμαίνειν καὶ γὰρ ξηραντικὸν τοῦ πλεύμονος τοῦτο ἐστὶ καὶ ἐμπυητικόν. ἀλλ' ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς τὴν κληῖδα, ἢ ἐς τὸν βραχίονα βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἀρήγει τὴν ἐν τῷ ἀγκῶνι φλέβα, τὴν εἴσω. καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν τὸ αἷμα, ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ. ἢ ἀντὶ καθαροῦ καὶ ἐρυθροῦ, πελιὸν, ἀμφότερα γὰρ γίνεται. ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληῖδα μὴ σημαίνῃ, μαλθάσσειν δεῖ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. μέλανι

calorificis utendum est, ne uel pulmonē exiccēt, uel suppurationem excitent. Quū ergò ad iugulū dolor extenditur, aut grauitas uel brachium, uel mămillam, aut partes, quæ supra transuersum septū sunt, infestat, interna cubiti, uena secanda est. Neque dubites copiosum detrahere sanguinē, donec uel rubicūdior multo uel pro puro, rubidoq; liuidus effluxerit, utrunq; enim accidere solet. At si eas partes quæ sub trāsuerso septo sunt, dolor afficit, sed ad iugulum nō ascendit, tum uel nigro ueratro, uel peplio aluus ducenda est: miscere uerò oportet ueratro

uel

©BIU Santé



ἢ δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄννησον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα. πεπλίῳ δὲ, ὀπὸν σιλφίου. ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν, ὁμοιότροπα ταῦτά ἐστιν. ἄγει δὲ μέλας μὲν κάλλιον, καὶ κρισιμώτερα πεπλίου. πέπλιον δὲ, μέλανος μᾶλλον φυσέων καταρρηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα, ὀδύνην παύει, παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων. κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστὶν, ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα ὑπήλατα, ἀρήγει, ὁκόσα μὴ ἄγαν εἰσὶν, ἀηδέα, ἢ διὰ πικρότητα, ἢ δι' ἄλλην τι-

uel daucum, uel Seseli, uel Cyminum, uel Anisum, uel aliud quidpiam odoris iucundi. Peplio uerò Laser, id est, Silphij succum, quanquàm et hæc ipsa simul mixta, haud absimiles uires obtinent. Cæterum ut hæc ambo quæ diximus, ita plura quoque alia quæ alui ducendæ uim habent, dolorem mitigãt: sed omniũ quæ ego nouerim hæc lõgè optima sunt. Nam & in his quæ sorbitionib. mixta uentrẽ soluunt, nonnihil præsidij est, nisi uel ob amarorem, uel asperitatem,

©BIU Santé



να ἀηδίην, ἢ διὰ πλῆθος, ἢ χροιήν, ἢ ὑποψίην τινά, τὴν μὲν πτισάνην ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιῤῥοφεῖν αὐτίκα χρὴ διδόναι, μὴ ἔλασσον ἀξίως λόγου, ἢ ὁκόσον εἴθισται. ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ, μεσηγὺ τῆς καθάρσιος, μὴ διδόναι ῥοφεῖν. ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφείτω, ἢ ὁκόσον εἴθισται. μετὰ δὲ ταῦτα ἀναγέτω αἰεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥτε ὀδύνη πεπαυμένη ᾖ, καὶ μηδὲν ἄλλο ἐναντιῶται. ὠυτὸς δέ μοι λόγος ἐστὶ, κἢν χυλῷ πτισάνης δέῃ χρέεσθαι. φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι ῥοφεῖν τὸ

ritatē, aut multitudinē, aut colorē, aut suspicionem aliquā, omnino fuerint ingrata. Quū medicamentum aliquis ebibit, mox ptisana sorbitioni danda est, non minori penè quantitate q̃ consueuit. In media purgatione sorbēdum non est, sed ubi ad purgationis finem deuētum est, sorbitio detur, minor tamen quàm pro consuetudine. Tandem leuato dolore, nisi aliud quidpiam obstiterit, liberalius exhibeatur. Idem dixisse uelim, quū ptisanæ cremor in usum uenerit. Equidem satius esse puto, ut protinus

ἐπίπαν

ἐπίπαν μᾶλλον, ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος, ἢ τριταῖον, ἢ τεταρταῖον, ἢ πεμπταῖον, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τουτέῳ τῷ χρόνῳ. αἱ δὲ προπαρασκευαὶ καὶ τῶν τουτέοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαι περ εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω. ἀτὰρ καὶ περὶ ποτοῦ ὁκοῖον ἄν τις μέλλῃ πίνειν τῶν γραφησομένων αὐτός μοι λόγος ὡς ἐπίπαμεσιν.

nius ab initio sorbitionē dare incipias, quàm tertio, quarto, quinto, aut septimo die: quū uidelicet uenæ cōciderunt, nisi sub hoc spacio morb. fuerit iudicatus. Atque hos similiter, ut superiores, præparare oportet. De sorbitionis exhibitione, hæc ferè sunt quæ dicere decreuerā. Ac de potione quoque, qualiscunq; ex his, quas posthac declarabimus, sumatur, eadē ratio est.

## DE CONSVETVDInis mutatione.

Οἶδα δὲ καὶ τοὺς ἰητροὺς, τὰ ἐναντιώτατα ἢ ὡς δεῖ

Sed nō ignoro oēs ferè medicos à debita obseruatiōe, quàmgrauissime

©BIU Santé



δεῖ ποιοῦντας. βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νόσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο, ἢ τρεῖς, ἢ καὶ πλείονας ἡμέρας. οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά. καὶ ἴσως τι καὶ εἰκὸς δοκέει αὐτέοισιν εἶναι, μεγάλης τῆς μεταβολῆς γενομένης περὶ τὸ σῶματι, μέγα τι ἀντάρτα καὶ ἀντιμεταβάλλειν. τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει, μὴ ὀλίγον. ὀρθῶς μέν τοί γε μεταβιβαστέη καὶ ἡ μεταβολή. καὶ ἔκ γε τῆς μεταβολῆς, ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον. μάλιστα μὲν οὖν βλάπτοιντο ἄν, ἢν μὴ ὀρθῶς

*ſimè aberrare, quippe qui ab initio duos, aut tres, aut etiã plures dies, fame cruciãt ægros, deinde & ſorbitiones, & potiones exhibent, quòd uidelicet operæprecium ipſis uidetur, magnæ corporis mutationi quidpiã quod ualde ſit magnum obijcere. Equidem mutationẽ laudo, ſi modica fuerit, recta enim debet eſſe mutationis trãslatio. Maximè uerò in ciborũ exhibitione mutationis cõſyderatio habẽda eſt. Porrò grauiſſimè læduntur ij, qui*

μετα-

©BIU Santé



μεταβάλλουσιν οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι. ἥκιστα δ' οὗτοι. χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα ξυμφέρει. εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα μεγάλα, τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ τινὶ, καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἐν γε τῇσι νούσοισι διαφέρει μεγάλα, καὶ τουτέων μὲν τῇσιν ὀξυτάτῃσι μάλιστα; ἀλλὰ μὴν εὐκαταμαθητέον γε οὖν, ὅτι

ij qui tota utuntur ptisana, si mutationi peccatum accedat, ac læduntur quoque qui succum dũtaxat assumũt. Deinde noxa afficiuntur, qui solam potionẽ accipiũt, sed minus q̃ superiores. Cæterũ ut rectã uictus rationẽ instituamus, salubria præcepta quæ p bonã ualetudinẽ obseruanda sunt perpendere oportet. Quũ enim nõ parũ intersit, hacne, an illa uictus ratione sani utãtur: cũ in alijs quibusdam, tum præcipuè in mutationibus, quomodo fieri potest, quo minus magna sit in morbis uarietas, idq; maximè in acutis. Quòd aũt

©BIU Santé


ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος, αὐτὴ ἑωυτῇ ἐμφερὴς ἀεὶ ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγιείην, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρεῖττον. ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης, καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ, βλάβας καὶ ἀῤῥωστίην παρέχουσιν, καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀριστᾷν, εἰ ἀριστήσουσιν, εὐθέως ἀῤῥώστους ποιεῖ. καὶ βαρέας ὅλον τὸ σῶμα καὶ ἀσθενέας. καὶ ὀκνηρούς. ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας. ἐνίοισι δὲ, καὶ σπατίλη γένοιτο ἂν, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη, εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι,

uitiosam uictus rationẽ, quæ nũquàm uariat, longè tutius sit obseruare, quàm subito uel ad meliorẽ transire, facilè intelligitur. Quippe siue bis, siue semel duntaxat in die, quis cibũ accipere solitus est, si subito cõsuetudinem mutauerit, noxam imbecillitatemq́; subibit. Etenim prandiũ assumens, qui id non consueuit, protinus imbecillus, grauis, ægrotus, segnisq́; redditur. Quòd si præterea cœnauerit, ructus acidus, et alui leuitas subsequitur: grauatur enim sub

©BIU Santé



θαι, μήτε δὶς ἐψεῖν τὰ σιτία, ἀρήγει δ᾽ οὖν τὸ τένεσιν, ἀνασυνῶσαι τὴν μεταβολήν. ἐγκοιμηθῆναι γοῦν χρὴ, ὡς νύκτα ἀγάγοντα μετὰ τὸ δεῖπνον. τοῦ μὲν χειμῶνος, ἀρριγέως. τοῦ δὲ θέρεος, ἀθαλπέως. ἢν δὲ μὴ δύνηται καθεύδειν, βραδεῖην συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα καὶ μὴ βλαβερά. ἔτι δὲ ἐλασσον ποιεῖν, καὶ μὴ ὑδαρές. ἔτι δ᾽ ἂν μᾶλλον, πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς

insueto onere uentriculus, q antea aridus esse, ac neq; bis intumescere, neque toties cibum, coquere solebat. Proinde iuuādi sunt tales cōpensata mutatione: siquidem dormire eos oportet, tanq̃ noctem à cœna duceret, ac hyeme quidem frigus, æstate uerò calorē uitare. Si somnus nō accedit, lēto, frequentiq; incessu ambulare, ac neq; stare, neq; cœnare debēt, nisi forte perexigua quædam eáq; minimè noxia sumant: minus bibere, id'que meracius & nequaquā dilutum. Maiori tamen molestia afficietur is: qui ter eadem die ad satietatem usque cibum ingesserit,

©BIU Santé



ἐς κόρον. ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις. καίτοι γε πολλοί εἰσιν οἳ εὐφόρως φέρουσιν τρεῖς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν. ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν ἀσθενέες, καὶ ἄῤῥωστοί εἰσι, καὶ δειλοὶ ἐς πᾶν ἔργον, καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν, καὶ ἡ ἄφοδος ξυγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται, καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται, καὶ οἱ κρόταφοι πάλλονται. καὶ

ingesserit, ac multo magis si crebrius etiãnum assumpserit. Quãquàm sunt nonnulli quibus nihil molestiæ affert, ter in die cibo repleri, præsertim si ita educari cõsueuerint. Quibus consuetudo fuerit bis die cibũ assumere ij nisi pransi fuerint, imbecilli, ægrotiq́; , ac ignaui redduntur, dolore precordia torquẽtur, ueluti suspensis uisceribus, urina callida pallidáque redditur, & alui sedimina aduruntur, os amarore afficitur, oculi cauantur, tempora mouẽtur, extremæ

©BIU Santé



καὶ τὰ ἄκρεα διαψύχονται. καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων, οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην, καὶ δυσκοιτέουσι πολὺ μᾶλλον, ἢ εἰ προηριστήκεισαν. ὁκότε γοῦν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν εἵνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελέειν. εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν εἰ τότε ἀνάριστος ἐὼν,

ἐπόνεε

extremæ partes frigescunt. Sunt pleriq; qui omisso prandio cœnare nequeunt: quòd si tum cœnauerint, uẽtris grauitate molestantur, ac per somnũ multo magis uexantur, quàm si prãsi fuissent. Quum igitur eos, qui bona adhuc ualetudine degũt, huiusce modi infestẽt accidẽtia, si per dici duntaxat medietatem, ratio uictus à consuetudine mutetur, cõstat ut neq; addi quicquàm, neq; minui utiliter poßit. Igitur q præter consuetudinẽ semel dũtaxat cibum accepit, deinde exinanitis toto die uenis, quãtũ solebat cœnauerit,

©BIU Santé



ἐπόνεε καὶ ἐῤῥώσθη δει-
πνήσας δὲ τότε βαρὺς
ἦν, πολὺ μᾶλλον βα-
ρύνεσθαι. εἰ δέ γε τὸν
πλείω χρόνον κενεαγ-
γήσας, ἐξαπίνης μετα-
δειπνήσειεν, ἔτι μᾶλ-
λον ἂν βαρύνοιτο. τὸν
γοῦν παρὰ τὸ ἔθος κε-
νεαγγήσαντα, ξυμφέ-
ρει ταύτην τὴν ἡμέ-
ρην ἀντισηκῶσαι ὧ-
δε ἀῤῥιγέως καὶ ἀθαλ-
πέως καὶ ἀταλαιπώ-
ρως. ταῦτα γὰρ ἅ-
παντα βαρέως ἂν ἐνέγ-
κοι καὶ τὸ δεῖπνον συ-
χνῷ ἔλαττον ποιήσα-
σθαι, ἢ ὅσον εἴθιστο, καὶ
μὴ ξηρὸν, ἀλλὰ τοῦ πλα-
δαρωτέρου τρόπου. καὶ με-
τὰ ταῦτα, πιεῖν μὴ ὑδα-
ρὲς, μηδ' ἔλασσον, ἢ
κατὰ

cœnauerit, si quũ à pran-
dio abstinuit, & doluit,
& ægrotauit, assumpta
autem cœna grauis effe-
ctus est: par est eũ mul-
to magis grauari. Cui
uerò ex longiori spacio
uenæ conciderunt, si re-
pẽte cœnauerit, multo
grauius afficietur. Refi-
ciũtur aũt hi quib. præ-
ter cõsuetudinem uenæ
exinanitæ sunt, si eodẽ
die à frigore, calore, &
fatigatiõe tuti seruẽtur,
quippe q̃ omnia hæc æ-
grè tolerari solẽt: dein-
de cœna multo leuior, q̃
pro consuetudine, insti-
tuẽda est: eamq́; nõ ari-
dã esse, sed humiditatis
modũ seruare oportet.
Vinũ haudquaq̃ dilutũ
potare, neq; minus q̃ ci-

©BIU Santé



κατὰ λόγον βρώματος. καὶ τῇ ὑστεραίῃ. ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος. αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω, τὴν δὲ ἀσιτίην τὴν παρὰ τὸ ἔθος, οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην, τὴν παρὰ τὸ ἔθος, εὐφορώτερον ἂν οὗτοι ἐνεγκοιεν. ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημήϊον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν. οὐδὲ

*borum ratio desyderat. postero die exiguum cibum in prãdio sumere, ut paulatim ad consuetudinẽ fiat reditus. Huiuscemodi uerò noxas grauißimè ferũt ij, quibus superiores partes amara bile redundant. Quibus uerò in superiorib. pituita cõtinetur, ij inediã præter cõsuetudinẽ magna ex parte facilè tolerãt: quo fit ut minus quoque lædãtur, si præter cõsuetudinẽ semel dũtaxat in die cibo reficiãtur. Præterea efficax argumentũ uel ex eo deprehẽditur, quòd maximè in nobis mutationes, tum naturæ, tum habitus, potißimum morbos pariunt.*

Quamobrem

©BIU Santé



εἰ οἷόν τε παρὰ καιρόν, οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν. οὔτε ἀκμαζόντων τῶν νουσημάτων, καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν. οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τά, οὔτε ἐπὶ τά. Πολλὰ δ' ἄν τις ἠδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα, ἃ εἰθισμένοι εἰσίν, εἰ καὶ μὴ ἀγαθὰ ᾖ φύσει, ὡσαύτως δὲ καὶ τὰ ποτά. δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ εἰθισμένοι εἰσίν, εἰ καὶ κακὰ ᾖ. ὡσαύτως δὴ καὶ ποτά. καὶ ὁκόσα μὲν

Quamobrem neque uenas importunè exinanire, neq; uigentibus, feruentibusq; morbis aliquid ingerere, neq; etiã per totum morbi decursum, uel ad hoc, uel ad illud quicquàm permutare conuenit. Multa ijs consentanea de uentriculo dixeris: utpote qui cibos uel malos, ac potiones quoque, si ipsis uti consueuerit, facilè sustinet. Contrà grauiter ferre solet, tũ cibos, tũ potiones, quãuis suapte natura uitio careant, si præter cõsuetudinẽ ingerãtur. Quo minus mirãdum est, si maiore dolore afficitur illorũ uen

κρεηφαγίη

κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει. ἢ σκόροδα. ἢ σίλφιον. ἢ ὀπὸς. ἢ καυλός. ἢ ἄλλα ὁκόσα τοιουτότροπα, μεγάλας δυνάμιας ἔχοντα ἰδίας. ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει, τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων· ἀλλ' εἰ καταμάθοι ὅκως ἂν μᾶζα τε ὄχλον. καὶ ὄγκον. καὶ φῦσαν. καὶ στρόφον τῇ κοιλίῃ παρέχοι παρὰ τὸ ἔθος βρωθεῖσα, τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ. ἢ αὐτός τε ὁ ἄρτος θερμὸς βρωθεὶς. οἵην δίψαν παρέχει. καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον. καὶ οἱ ἄγαν καθαροί τε

triculus, qui præter consuetudinem multas carnes, aut Allia, aut laserpitiũ, aut laser, aut eius caulẽ, aut reliqua id genus uehemẽtes uires obtinentia, edunt. Nec ulla admiratione capieris, si didiceris, mazam præter consuetudinem ingestam, tumultũ, tumorẽ, flatum, torminaq; excitare, præsertim ubi quis mazã edere non cõsueuit. Et q calidus panis sitim subitamq; plenitudinem præbet: quippe qui ariditatem inducit, tardeq; descendit. Itẽ q panes, seu admodum puri, seu

©BIU Santé



ῥοῖτε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιοῦσι. καὶ μᾶζα τε ξηρὴ παρὰ τὸ ἔθος, ἢ ὑγρὴ, ἢ γλισχρὴ. καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ πρόσφατα, τοῖσι μὴ εἰωθόσι. καὶ τὰ ἑτεροῖα, καὶ οἷσι τὰ πρόσφατα εἰωθόσι. καὶ οἰνοποσίη, καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει, καὶ φῦσαν ἐς τὴν κάτω. ὁ δὲ παλμὸν φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν καὶ

λευκὸς

*seu cibarij, repugnante cōsuetudine ingesti, differētes inter se affectus cōmittunt. Similiter maza siue arida, siue humida, siue uiscosa sit. Ad hæc qualiter recētes polentæ, præter consuetudinem illas comedentē, afficiunt. Sic uini quoq; & aquæ præter consuetudinem potatio, subita in diuersum usum facta permutatione. Præterea uinum quoque affatim epotū, siue dilutum est, siue meracum: hoc enim uenas implet, & capitis grauitatem, sitimq; excitat, illud superiores uentriculi partes*

©BIU Santé



λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν ἐν τῷ σώματι. ὡς δὴ γλυκύν τε οἰνώδεα οἶνον, ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα. τιμωρητέον δὲ τοιόνδε τι μέρος, τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης, τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος, οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ᾿ ἐπὶ τὴν ἀρρωστίην, ὥστε ἀφαιρεθῆναι. προστεκμαρτέα δὴ καὶ

laxat, inferiores flatib. cruciat. Idẽ ex uino, tum albo, tum nigro accidet, ubi subita fuerit à consuetudine mutatio: quãuis enim uinosum fuerit utrũq;, magno tamen discrimine, corporis respectu, alterũ ab altero differt, ut nihil mirum sit, si dulce, idemq; uinosum uinum, ubi subita fuerit mutatio nõ idẽ efficere uideatur. Cæterum hãc sententiam, contraria quoque ratione fulcire oportet. Siquidem in ijs ratio uictus permutata est, corpore non permutato, ut neq; ob auctum robur cibos addere, neque ob infirmitatẽ cos minuere oporteret. In singulis itaque perpende,

ἰσχύς, καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστοισι, καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου τοῦ ἔθεος, καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν. πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον. ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νόσου ἡ ἀκμὴ πεπανθῇ. ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται. πολλὰ δ' ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι, τό γε μὴν κρέσσον μαρτύριον. οὐ γὰρ ἠδελφισμένον ἐστὶ τῷ πρήγματι περὶ οὗ

μοι

& uim & ſpeciem morbi, atq; hominis naturã, ac ægrotantis in uictus ratione cõſuetudinem, non ſolum in cibis, uerũ etiam potionibus. Sed perquàm modicè, additioni ſtudendum eſt: ablationi uerò in totũ intendere, ſæpenumero prodeſt. Modo ſufficere poßit infirmus, donec per uigorẽ morbus maturus fuerit. Id ubi faciẽdum ſit poſthac perſtringemus. Cæterum quamuis multa iam dictis conſentanea ſcribi poſſent, tamen res de qua plurimũ habui ſermonem, efficacius teſtimonium nõ deſyderat, quippe quæ commodißi-

mum

μοι ὁ πλεῖστος λόγος εἴρηται. ἀλλ' αὐτὸ τὸ πρῆγμα, ἐπικαιρότατον δεῖ διδακτήριον. οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νοσημάτων, ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη, οἱ δὲ, καὶ τῇ ὑστεραίῃ. οἱ δὲ, καὶ ἐρρόφεον τὸ προσυχόν. οἱ δὲ, καὶ κυκεῶνα ἐρρόφεον. ἅπαντα δὲ ταῦτα, κακίω μέν ἐστιν ἢ εἰ ἑτέρως τις διαιτηθείη. πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει, ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσει τελείως. τεταρταῖος δὲ ὢν, τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος.

mum cõtemplanti præbet aditum. Incipientibus igitur acutis morbis, accidit interdum ut laborantium alij eodem quo incœperunt die cibos ingerãt, alij postero die, alij quicquid fortè fortuna nacti sunt sorbeant, alij cyceonem, id est cinnũ bibant. Quorum error etsi grauior est, q̃ si diuersa uictus ratiõe usi fuissent, tamẽ longe minus læditur is, qui hac occasione peccauerit, quã si duobus tribus'ue primis diebus, uenas penitus cõcidere sinens, mox quarto quintóue die huiusmodi uictus rationẽ aggredia-

©BIU Santé


ἔτι μὴν τοι ἱκανόν, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον ἡμέρῃσιν, οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον. οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, ἢν μὴ πανθάπασί τις εὐήθης ἡ νοῦσος εἴη. αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες, οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος, ἢ τοίου, ἢ τοιοῦτοισι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοις, ἢ τοίοις χρέεσθαι.

tur. Sed longè grauissimum est, si omnibus iis diebus uenas exinaniri permittat: deinde posterioribus diebus, prius tamen quàm morbus maturetur, ad huiusmodi uictus ratione se conuertat, siquidē plurimi hoc pacto mortis periculum subeūt, nisi salubris admodum fuerit morbus. Errores autem ab initio protinus cōmissi, nō ita difficulter corriguntur, sed faciliorē certè admittunt medelam. Hoc documēto, nullum aliud puto salubrius q̃ primis diebus nullū sorbitiōis genus subtrahendum est his, qui paulò post uti sorbitione quauis

©BIU Santé


χρέεσθαι. πυθμενόθεν
μὲν οὖν οὐκ ἴσασιν,
οὐδ' οἱ τῇσι κριθώδε-
σι πτισάνῃσι χρεόμε-
νοι, ὅτι αὐτέῃσι κακοῦν
ται, ὁκόταν ῥοφέειν ἄρ
ξωνται, ἢν προκενεαγ
γήσωσι, δύο ἢ τρεῖς
ἡμέρας ἢ καὶ πλείους.
οὔτ' αὖ οἱ τῷ χυλῷ
χρεόμενοι γινώσκου-
σιν ὅτι αὐτέοισι βλά-
πτονται ῥοφέοντες, ὅ-
ταν μὴ ὀρθῶς ἄρξων-
ται τοῦ ῥοφήματος.
τότε μὲν φυλάσσουσι
καὶ γινώσκουσιν, ὅτι με
γάλην τὴν βλάβην φέ
ρει, ἢν πρὶν πέπειρον
τὴν νόσον γενέσθαι κρι
θώδεα πτισάνην ῥοφή
σῃ ὁ κάμνων, εἰθισμέ-
νος χυλῷ χρέεσθαι. πάντα οὖν ταῦτα, μεγάλα

uis cogatur. Etenim qui
hordeacea ptiſana utun
tur, penitus neſciunt ip
ſam noxiam eſſe, ſi tri-
bus, quatuor, pluribus'-
ue dieb. exinanitis iam
uenis ſorbere incœpe-
rint. Neq; etiam cremo-
rem eius duntaxat acci
pientes, quum nõ rectè
ſorbere incœperint, no
xam ſibi inferri intelli-
gunt: ſed tum primũ & 
cauent, & periculi ma-
gnitudinem agnoſcunt,
quam ante morbi matu
rationem, quis hordea-
ceã ptiſanã ſumit, q̃ cre
more eius uti ſolebat.

Vnde

©BIU Santé



μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας, ἀλλ' ἐν ᾗσί γε νούσοισιν οὐ χρὴ κεναγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κεναγγέουσιν. ἐν ᾗσι τε οὐ χρὴ μεταβάλλειν ἐκ κεναγγέης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι, καὶ ὡς ἐπὶ τὸ πολὺ ἁμαρτάνουσιν. ἐνίοτε δὲ, ἐν τοῖσι καιροῖσι μεταβάλλουσιν, ἐς τὰ ῥοφήματα ἐκ τῆς κεναγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κεναγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος. ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται,

Vnde manifestißimè colligitur, medicos non rectè ægrotis uictus rationẽ præscribere: quippe qui in morbis, nõ uenarũ exinanitione, sed sorbitione egentibus uenas cõcidere permitũt. Contrà ubi à uenarũ exinanitiõe ad sorbitiones trãsire periculosum est, ipsi confestim transmutando plerunque peccant. Ac nonnunquàm à uenarum inanitione, ad sorbitiones eo tẽpore transeunt, quo satius esset, ita exigente morbi irritatione, à sorbitionibus ad uenarum exinanitionem transire. Quapropter quibusdã

ἀπὸ

©BIU Santé



ἀπό τε κεφαλῆς, καὶ περὶ τὸν θώρηκα τό που χολώδεα. ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτέοισι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος. περίλυποί τε καὶ πικροὶ γίνονται, καὶ παραφρονέουσι. καὶ μαρμαρυγώδεά σφέων τὰ ὄμματα. καὶ αἱ ἀκοαὶ ἤχου μεσταί. καὶ τὰ ἀκρωτήρια κατεψυγμένα. καὶ οὖρα ἄπεπτα. καὶ πτύσματα λεπτὰ, καὶ ἁλυκὰ, καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά. καὶ ἱδρῶτες περὶ τὸν τράχηλον. καὶ διαπορήματα. καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν, ἢ μέγα λίην. ὀφρύες δεινώσιος μετέχουσαι.

ex capite ac pectore cruda bilis attrahitur, quibus uigilia quoq; morbi maturationem impediens accedit, mœstitia, amaritudineq; infestantur, delirant, ac splendētia quædam ipsorum oculis obijciūtur, aures sibilo implentur, extremæ membrorum partes infrigidantur, urinæ redduntur incoctæ, sputa tenuia, salsa, colore syncero, exigua, sudores à ceruice profluunt, anxietate uexātur, spiritus errat, quippe quum sursum fertur aut frequens est, aut ualde magnus, supercilia grauantur,

μετέχουσαι. λειποψυ-
χώδεα πονηρά. καὶ τῶν
ἱματίων ἀποῤῥίπτεες
ἀπὸ τοῦ στήθεος. καὶ χεῖ-
ρες τρομώδεες. ἐνίοτε
δὲ καὶ χεῖλος τὸ κάτω
σείεται. ταῦτα δὲ ἐν ἀρ-
χῆσι παραφαινόμενα,
παραφροσύνης δηλω-
τικά εἰσι σφοδρῆς. καὶ
ὡς ἐπὶ τὸ πολὺ, ἀποθνή-
σκουσιν. οἱ δὲ διαφεύ-
γοντες ἢ μετὰ ἀποστή-
ματος, ἢ αἵματος ῥύσι-
ος ἐκ τῆς ῥινὸς, ἢ πύον
παχὺ πτύσαντες δια-
φεύγουσιν. ἄλλως δὲ οὔ.
οὐδὲ γὰρ τῶν τοιουτέ-
ων ὁρέω ἐμπείρους τοὺς
ἰητροὺς, ὡς χρὴ δια-
γινώσκειν τὰς ἀσθε-
νείας ἐν τῇσι νούσοισιν,
εἴτε διὰ κενεαγγείην ἀποτελοῦνται, αἵ τε δι' ἄλ-
λου

uantur, animi defectio urget, eaq; mala, uestes à pectore proijcĩũt, manus tremore afficiũtur, imum labrũ nonnũquàm cõcutitur. Hæc si ab initio apparuerint deliriũ, & quidem multũ ac uehemens denũciant, atq; æger magna ex parte moritur. Quòd si mortẽ effugerit, aut cũ abscessu, aut sanguinis fluore è naribus, aut crassi puris sputo liberatur, nec aliter euadere poterit. Neq; uideo medicos harũ rerũ experientia ita exercitatos, ut imbecillitates in morbis discernãt, siue ob uenarũ inanitionem,

©BIU Santé



λον τινὰ ἐρεθισμὸν, αἴτε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νόσου. ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. καί τοι σωτηρίην ἢ θάνατον φέρει, γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα. μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νόσου ἀσθενέοντι, προσφέρῃ τις ποτὸν, ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα, μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη

nitionem, siue ob aliam quandã irritationem, ut uel dolorẽ, uel morbi uehementiã eueniãt. Neq; eas affectionũ species dignoscunt, quas uel natura nostra, uel habitus, singulis efficere solet: quanq̃ ab ijs, uel salus, si cognoscãtur, uel mors, si propter imperitiã lateãt, expectanda est. Sane ut grauißimũ peccatũ cẽsetur, si uel ob laborẽ, uel morbi uehementiã imbecillo, aliquis uel potionẽ, uel sorbitionẽ copiosiorẽ, aut cibũ exhibeat, existimãs eum à uenarũ exinanitione factũ debiliorẽ, ita impudentißimũ est, eũ quem uenarũ exinanitio reddidit imbecilliorẽ, nõ cognoscere, & abstinẽtia torquere: quanq̃ ne hoc quidẽ

©BIU Santé



ἢ ἁμαρτάς. πολλῷ δὲ
κάκιον, τῆς ἑτέρης. κατα
γελαστοτέρη δὲ πολλῷ
αὕτη μᾶλλον ἡ ἁμαρ-
τὰς τῆς ἑτέρης. εἰ γὰρ
ἄλλος ἰατρὸς ἢ καὶ ἰδιώ
της εἰσελθὼν καὶ γνοὺς
τὰ συμβεβηκότα, δοίη
καὶ φαγεῖν καὶ πιεῖν, ἃ
ὁ ἕτερος ἐκώλυσεν, ἐπι
δήλως ἂν δοκοίη ὠφε
ληκέναι. τὰ δὲ τοιαῦ-
τα μάλιστα καθυβρίζε
ται τῶν χειρονακτέων
ὑπὸ τῶν ἀνθρώπων. δο
κέει γὰρ αὐτέοισιν ὁ εἰ
σελθὼν ἰητρὸς ἢ ἰδιώ
της, ὥσπερ εἰ τεθνεῶτα
ἀναστῆσαι. γεγράψε-
ται οὖν καὶ περὶ του-
τέων, σημεῖα οἷσι δεῖ
ἕκαστα τουτέων διαγι-
νώσκειν. παραπλή-
σια

peccatum periculo ua-
cat: tamen ut superiore
leuius est, ita magis deri
dendum. Si enim alius
quispiā siue medicus, si-
ue plebeius, accesserit,
notaueritq; accidentia,
deinde contra prioris
medici institutū, cibum,
potionēq; exhibeat, pla
nè cōstat hunc nonnihil
auxilij attulisse: proin-
de prioris artificis insti
tutū grauissimam subit
calumniā: uideturq; su-
perueniēs uel medicus
uel plebeius ueluti mor
tuum resuscitasse. Nos
de hac re notas quas-
dā scribemus, quib. sin-
gula discernātur. Atq;
hæc quæ iam ꝓposui si-
milia

©BIU Santé



σια μέντοι τοῖσι κατὰ
κοιλίην· καὶ ταῦτα ἐστί.
καὶ γὰρ ἢν ὅλον τὸ σῶ-
μα ἀναπαύσηται πυ-
λὺ παρὰ τὸ ἔθος, οὐκ αὐ-
τίκα ἔῤῥωται μᾶλλον.
ἢν δὲ δὴ καὶ πλείω χρό
νον διελινύσας ἐξαπί
νης ἐς τοὺς πόνους ἔλθῃ,
φλαῦρόν τι πρήξειεν
ἐπιδήλως. οὕτω δὲ καὶ
ἓν ἕκαστον τοῦ σώματος.
καὶ γὰρ ἢν οἱ πόδες
τοιοῦτόν τι πρήξειαν, καὶ
τὰ ἄλλα ἄρθρα μὴ εἰθισ
μένα πονέειν, ἢν διὰ
χρόνου ἐξαπίνης πρὸς
τὸ πονεῖν ἔλθῃ. ταῦτα
δ᾽ ἂν καὶ οἱ ὀδόντες καὶ
οἱ ὀφθαλμοὶ πάθοιεν,
καὶ πᾶν ὁτιοῦν. ἐπεὶ
καὶ κοίτη ἡ παρὰ τὸ
ἔθος μαλθακὴ, πόνον
ἐμποιέει.

milia ferè sunt accidēti
bus, quæ uētriculū non-
nunq̃ infestāt. Etenim si
uniuersum corpus præ-
ter consuetudinem diu
quieuerit, non protinus
euadit. Quòd si lōgiori
quoq; spacio torpuerit,
deinde protinus labo-
res aggrediatur, id qđ
effecerit, uile erit. Simi
liter de reliquis quoq;
corporis partibus senti
endū est. Neq; enim pe-
des, neq; aliæ corporis
partes, rectè sua mune-
ra perficient, dissuetudi
ne laborē intercipiēte,
si aliquādo subito labo-
rare tentauerint. Simili
ter et dētes & oculi &
cæteræ quoq; partes af
ficiētur. Nam & cubile
præter cōsuetudinē, aut

©BIU Santé



ἐμποιέει. καὶ σκληρὴ παρὰ τὸ ἔθος. καὶ ὕπαιθρος εὐνὴ παρὰ τὸ ἔθος, σκληρύνει τὸ σῶμα. ἀτὰρ καὶ τὰ τῶν τοιῶνδε πάντων, ἀρκέει παραδείγματα γράψαι. εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὔηθες ὂν, καὶ μήτε ἄγαν δυσελκὴς ὢν, μήτε ἄγαν εὐελκής, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῆ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντος μὲν ἂν οὗτος εἴη καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ πλανώμενος ἰητρεύοιτο. εἰ μέντοι πεμπταῖος, ἢ ἑκταῖος, ἢ καὶ

aut durum molestũ est: quanquã quod sub diuo præter consuetudinem stratũ est, corpus indurat. Porrò horũ omniũ satis fuerit exẽpla quædam perstringere. Esto sanè, quòd tibia cuiuspiam ulcere non omnino salubri laboret, qui neq; perdifficilem, neq; facilem omnino curationẽ admittat. Si prima protinus die, inter curationis uidelicet initia, sic iaceat, ut nequaquã crus eleuet, inflammatione haudquaquàm afficietur, multoq; citius bonæ ualetudini restituetur, quàm si inter curandum errorem cõmittat. quòd si à die quinto, aut sexto,

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 336 sur 669

©BIU Santé



ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς, ἐθέλοι προβαίνειν μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονέσειεν, ἢ ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. διὰ τέλεος οὖν μαρτυρεῖ ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει. πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης, ἐξαπίνης πλέον τοῦ

sexto, uel serius etiã surrexerit, & incedere conetur, magis dolebit, q̃ si protinus ab initio in curatione peccasset: si uerò subitò multũq; fatigetur, grauiori cruciabitur dolore, quã si per iam propositos dies inter curandum fuisset fatigatus. Itaque ex his omnibus perfectum licet colligere testimonium, quòd omnis subita mutatio, si modum excesserit, noxam inducit.

Vẽtriculus autem grauiter læditur, si ei postea q̃ uehementer conciderunt uenæ, protinus immodicè

μετρίο

μετρίου προσαίρηται
ἀτὰρ καὶ κατὰ τὸ ἄλ-
λο σῶμα ἢν ἐκ πολλῆς
ἡσυχίης ἐξαίφνης ἐς
πλείω πόνον ἔλθοι,
πουλὺ πλείω βλα-
βείη, ἢ εἰ ἐκ πολλῆς ἐ-
δωδῆς ἐς κενεαγγεί-
ην μεταβάλλοι, δεῖ μέν
τοι καὶ τὸ σῶμα τού-
τέοισιν ἐλλινύειν. ὃς
ἢν ἐκ πολλῆς ταλαι-
πωρίης ἐξαπίνης ἐς
σχολήν τε καὶ ῥαθυ-
μίην ἐμπέσῃ, δεῖ δὲ
καὶ τουτέοισι τὴν κοι-
λίην ἐλλινύειν πλή-
θεος βρώμης. ἢν δὲ μή,
πόνον ἐν τῷ σώματι
ἐμποιήσει, καὶ βάρος
ὅλου τοῦ σώματος. ὁ
δὴ ὦν πλεῖστός μοι
λόγος γέγονε, περὶ τῆς μεταβολῆς τῆς

modicè quidpiã ingera-
tur. Sic reliquum quoq;
corpus, si ex multa quie
te subito ad uehementẽ
laborem deducitur: ma
gis lædetur, quàm ubi
ex pleniore cibo ad ue-
narũ exinanitionẽ trãs-
mutantur. Illorũ etiãnũ
corpora torpere neces-
se est, qui ex multa fati
gatione, repẽte ad igna
uiam secordiam'que se-
se conuertunt. Proin-
de uẽtriculos ipsorum,
haud ita multo cibo ex-
ercere oportet. alioqui
qui et dolore et grauita
te totum corpus uexabi
tur. Cæterũ de immuta
tione uel ad hæc uel ad
illa, lõgior fuit nobis ser

©BIU Santé



περὶ τῆς διαίτης, καὶ ἐπὶ τὰ καὶ περὶ τά. ἐς πάντα μὲν οὖν, εὔχρηστον ταῦτα εἰδέναι. ἀτὰρ καὶ πρὸς ὃ ὁ λόγος ἦν. ὅτι καὶ ἐν τῇσιν ὀξείησι νούσοισιν ἐς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη. ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἡ νοῦσος πεπανθῇ, ἢ ἄλλοτι σημεῖον φανῇ, ἢ κατ' ἔντερον κενεαγγικόν, ἢ ἐρεθιστικόν, ἢ κατὰ τὰ ὑποχόνδρια ὁκοῖα γεγράψεται σημεῖα. ἀγρυπνίη ἰσχυρὴ, πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει. καὶ ἡ περὶ τὰ ἕτερα αὖ μεταβολὴ, διαλύει σῶμα, καὶ ἐφθό-

*mo, quòd huiuſmodi notitia, ad omne ferè negociũ utilis eſt, præſertim ad hoc noſtrũ propoſitum, quòd ſcilicet in acutis morbis à uenarũ exinatione ad ſorbitionem tranſeũtes, permutationẽ à noſtris præceptis aberrare nõ permittãt. Etenim nõ eſt exhibẽda ſorbitio donec maturus uideatur morbus, aut aliud ſignũ, uel circa inteſtina, ut uacuatio, aut irritatio, uel circa præcordia apparuerit. Vehemẽs uigilia, ut cruditatẽ incoctionẽq́;, tũ ciborũ tũ potionis efficit, ſic in diuerſam partẽ trãſmutatio corpus reſoluit, et*

©BIU Santé



τητα καὶ καρηβαρίην ἐμποιέει.

uelut decoctũ reddit, capitisq; grauitatem inducit.

# ΙΠΠΟΚΡΑΤΟΥΣ Κῴου περὶ Διαίτης ὀξέων βιβλίον τρίτον.

# HIPPOCRATIS Coi de ratione uictus in morbis acutis, Liber III.

## DE VINO.

Γλυκὺν δὲ οἶνον, καὶ οἰνώδεα, καὶ λευκὸν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσι δὲ σημαινομένοισιν, χρὴ διορίζειν ἐν τοῖσιν ὀξείῃσι νούσοισιν. ὁ μὲν γλυκὺς, ἧσσόν ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος. καὶ ἧσσον φρενῶν

IGitur uinũ dulce, & uinosum, et album, et nigrũ, atq; aquã mulsam, & aquã, et oxymel, quantum ad acutos morbos ptinet, his ferè notis distinguere oportet. Dulce quidem uinũ, nõ adeò, ut uinosum, capiti grauitatẽ affert, & minus

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 340 sur 669

©BIU Santé



φρενῶν ἁπτόμενος. ἔστι
διαχωρητικώτερος δή
τι τοῦ ἑτέρου κατ᾽ ἔντερον.
μεγαλόσπλαγχνος,
ἢ σπληνὸς καὶ ἥπατος.
οὐκ ἐπιτήδειος οὖν οὐδὲ
τοῖσι πικροχόλοισι.
ἔστι γὰρ οὖν διψώδης
τοῖσί γε τοιουτέοισιν
ἐστίν. ἀτὰρ καὶ φυσώ-
δης ἐντέρου τοῦ ἄνω.
οὐ μὴν πολέμιός γε αὐ-
τῷ ἐντέρῳ τῷ κάτω,
ὡς κατὰ λόγον τῆς φύ-
σης. καίτοι γε οὐ πά-
νυ πορίμη ἐστίν, ἡ ἀπὸ
τοῦ γλυκέος οἴνου φῦσα,
ἀλλ᾽ ἐγχρονίζει περὶ ὑ-
ποχόνδρια. καὶ γὰρ οὖν
ἧσσον οὗτος διουρητικὸς
γίνεται τὸ ἐπίπαν τοῦ οἰ-
νώδεος λευκοῦ. πτυάλου
δὲ

*minus tẽtat mentẽ, nec ullũ aliud tã facilè per intestina descendit: sed iecur, et lienem in tumorem attollit: ac ne his quidẽ utile est, in quibus amara bilis exuperat. Nam & his sitim excitat, & superiorem intestinorum partem inflat: inferiori uerò intestino, quod ad flatus rationẽ attinet, non adeò infestum est. Sanè flatus, quem dulce uinũ excitauit, non facilè permeat, sed in præcordijs diu commoratur. Vtinam omnino minus hoc, quã album uinosumq́; ciere potest. At nullum aliud*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 341 sur 669

©BIU Santé



δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι ἢ ὁ ἕτερος οἶνος. οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου. ὁ δὲ λευκὸς οἰνώδης οἶνος, ἐπῄνηται μὲν καὶ ἔψεκται, τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει. ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς καὶ καταῤῥηκτικὸς, αἰεὶ πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι. καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ

efficacius promouet sputum, nisi quũ sitim induxerit, tum enim minus quàm cætera sputũ euocat. Vbi uerò nõ excitat sitim, omni alio efficacius screatum iuuat. Vini albi uinosi, tum laudes tum uituperationes, in dulci uini enarratione magna ex parte continentur: ipsum enim omni alio facilius ad uesicam trãsit, urinam ciet, magnumq; semper auxilium in his morbis afferre solet: quamuis enim, quod ad reliquos usus pertinet, ab alio uino superetur, quia tamẽ per uesicam

©BIU Santé



ἀ κύστιν κάθαρσις ὑπ' αὐτοῦ γινομένη, ξυνεταιἢν προσφέρηται, ὁκοῖον δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια ὄντα, τῆς περὶ οἴνου ὠφελείης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν, τοῖσιν ἐμεῦ γεραιτέροισι. κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν. ἐς τάδε ἂν χρήσαιο, εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μὴ δὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μὴ δὲ τὸ οὖρον ἴσχοιτο. τὰ δὲ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματώδέστερα εἴη. ἐν δὴ τοῖσι τοιούτοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ

uesicam purgat, magnificè liberat, si exhibeatur ut oportet. Has igitur de uini tũ usu, tum noxa coniecturas, licet perpulchræ sint, maiores nostri ignorauerũt. Fuluũ uinum, et nigrum austerum eũdem usum habere censerem in acutis morbis, nisi capitis grauitatem inducerent, & mentem attingerẽt, atque sputi urinæq; exitum impedirent. Cæterum à uino albo, alijsq; id genus nõ maximè abstinẽdum est, quum alui excrementa, & mollia, & ramentosa fuerint.

Id uerò

©BIU Santé



λευκοῦ, καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. προξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ κύστιν, ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ. τὰ δὲ κατ᾽ ἔντερον, καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρατέστερος ᾖ.

Id uerò neminem latere debet, quòd superiores, & inferiores corporis partes, ut minus lædit uinum dilutum, ita meracius intestinis magis auxiliatur.

## DE AQVA MVLSA.

Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν, ἧσσον ἐπιτήδειον, ἢ τοῖσιν οὐ τοιούτοισιν ἐστίν. διψῶδές γε μὴν, ἧσσον τοῦ γλυκέος οἴνου. πνεύμονός τε γὰρ, μαλθακτικόν ἐστι, καὶ

Aqua mulsa per totum morbi acuti decursum epota, his qui amara bile abũdant, & quibus tumida sunt uiscera, minus cõuenit: quanquàm ipsis non adeò ut uinum dulce, sitim exicat: pulmonem autem lenit;

©BIU Santé



καὶ πτύελον ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν. ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον. ἔστι δὲ καὶ οὐρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ. καὶ διαχωρητικὸν δὲ, κάτω χολωδέων. ἔστι μὲν ὅτε καλῶν. ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ, καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. πτύαλον μὲν οὖν ἀναγωγὸν, καὶ πνεύμονος μάλθαξιν, τὸ ὑδαρέστερον μελίκρητον

lenit, ſputum mediocriter educit, tuſsientibus prodeſt, quippe quæ abſtergēdi facultatē obtinet, ſed plus uiſcoſitatis quàm oportunũ ſit, ſputo inducit. Ciet urinam efficaciter, niſi uiſcerũ aliquod obſtiterit: aluê biliosa excrementa educit, quæ interdũ uitioſa ſunt, interdum magis q̃ oportet, et exuperãt & ſpumant. Id uerò bilioſis maximè accidit, & his quib. intumeſcunt uiſcera. Aqua mulſa quo fuerit dilutior, eo efficaciorem euocandi ſputi uim obtinet atq; pulmonem reddit leniorem.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 345 sur 669

©BIU Santé


ποιέει μᾶλλον. τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ ἱκανοῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει. τὸ δὲ τοιόνδε διαχώρημα, ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλὰ ὁρμᾷ. δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει. ἑλκῶδές τε ὅδε καὶ ἐντέρων καὶ ἕδρης. ἀλεξιτήρια δὲ τούτων, γεγράψεται. ἄνευ μὲν ῥοφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι, πολλὰ ἂν

Quæ uerò minus diluta est, alui ſpumoſa excremēta, & ſupra modum bilioſa, & calidiora magis quā dilutior ducit, quamuis alias præterea noxas inferāt huiuſmodi excrementa. Neque enim præcordiorum ardorē extingunt, ſed excitant, efficiūtq; ut difficulter morbū ſuſtineat æger, & membra hincinde deijciat: inteſtina etiam, & anum ulcerāt. Quibus uerò auxilijs ea curare oporteat, poſtea explicabimus. Igitur ſi in huiuſmodi morbis, quis aqua mulſa, pro alia potione, poſthabitis ſorbitionibus utatur, is ut

BIU Santé



ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. οἷσι δὲ δοτέον, καὶ οἷσι μὴ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον. κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο, διὰ τοὺς ἀποκαρτερέοντας. ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος. τὸ δὲ οὐ πάντάπασιν ὧδε ἔχει. ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην. ἀτὰρ καὶ οἴνου λευκοῦ, καὶ λεπτοῦ, καὶ ὀλιγοφόρου,

ut multa felicißimè consequetur, ita ferè nunquam sua spe frustrabitur. Ergo quibus dāda uel inhibēda sit, uel quas ob causas ab ea tēperandū sit, magna ex parte iam dictū est. Sed dānauerunt nōnulli aquā mulsam, quòd bibentiū uires frangat, maturamq; mortem citet. Cui errori occasionem dederunt hi, qui mortē sibi fame cōsciuerunt. Sunt enim nōnulli qui aqua mulsa perinde ac si huiusmodi quandā uim habeat, utuntur, sed id perpetuū nō est: quippe per se potui data, nisi uentrē turbauerit, aqua lōgè ualētior est. Quin etiam uino albo tenui, imbecillo,

©BIU Santé



γοφόρου, καὶ ἀνόσ-
μου, ἣ μὲν ἰσχυρότε-
ρον, ἣ δὲ, ἀσθενέστερον.
μέγα μὲν διαφέρει καὶ
οἴνου καὶ μέλιτος ἀ-
κρητότης ἐς ἰσχὺν ἀμ
φοῖν. ὅμως τοίνυν εἰ
ἐπὶ διπλάσιον μέτρον
οἴνου καὶ ἀκρήτου πί-
νοι τις, ἢ ὁκόσον μέ-
λι ἐκλείχοι, πολλῷ
ἂν δήπου ἰσχυρότε-
ρος εἴη ὑπὸ τοῦ μέλι
τος μοῦνον. εἰ μὴ τα
ράσσοι τὴν κοιλίην.
πολλαπλάσιον γὰρ
καὶ τὸ κόπριον διεξίη
ἂν αὐτέῳ. εἰ μὲν τοι
ῥοφήματι χρέοιτο πτι
σάνῃ, ἐπιπίνοι δὲ με-
λίκρητον ἄγαν, πλησ
μονῶδες ἂν εἴη. καὶ
φυσῶδες. καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια
σπλάγ

imbecillo, nō odoro, in-
terdum ualentior imbe
cillior deprehenditur.
Etenim uini mellisq; pu
ri, si utriusque uim con
syderaueris, magna est
differentia. Nam si du-
plo plus uini quispiã bi-
berit, quàm linxerit mel
lis, longè plus uirium à
melle, modo uentrē non
turbauerit, cōsequetur,
uel hoc argumēto, quòd
plus subinde stercoris
deijciet. Aqua mulsa à
ptisanæ sorbitione epo-
ta, uehemēter replet, et
inflat, uisceraq; in præ-
cordijs

©BIU Santé



σπλάγχνοισιν, ἀξύμφορον. προπινόμενον μὲν πρὸ ῥοφήματος μελίκρητον, οὐ βλάπτει ὅκως μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν, πολλῷ κάλλιον τοῦ ὠμοῦ. λαμπρὸν γὰρ καὶ λεπτὸν, καὶ λευκὸν, καὶ διαφανὲς γίγνεται. ἀρετὴν δὲ ἥν τινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω. οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ. ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν. ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστιν. ὧν οὐδέτερον εἰς τι μαρίην προσδέεται μελίκρητον. ἔγχιστα

χρηστέον

cordijs lædit. Ante sorbitionem autem assumpta non solum nō adeò lædit, uerūetiam interdū magnificè prodest. Coctum mel, aspicientibus quidem longè præstantius crudo uidetur: est enim spendidum, tenue, candidum & perspicuum: sed quibus ab eo uiribus differat equidem non intelligo. Neque enim, si mel bonum fuerit, crudo suauius est & minus ab eo stercoris descēdit, quanquā neutro horum ad aquæ mulsæ probationem indigemus. Aliquando

tamen

χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐόν, καὶ ἀκάθαρτον, καὶ μέλαν, καὶ μὴ εὐῶδες. ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῶν κακοτήτων, αὐτέων τὰ πλείονα τοῦ αἴσχεος.

tamen cocto melle utendũ, maximè si uitiosum, impurũ, nigrũ, & haud iucundi odoris mel fuerit: siquidẽ plurima huiusmodi turpitudinis uitia coctio tollit.

## DE OXYMELITE.

Τὸ δὲ ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσιν νούσοισιν εὑρήσεις ἐόν. καὶ γὰρ πτυέλου ἀναγωγόν ἐστι, καὶ εὔπνοον. καιροὺς μέντοι τοιούσδε ἔχει. τὸ μὲν γὰρ κάρτα ὀξὺ, οὐδὲν ἂν μέζον ποιήσειε πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα.

Potionẽ ex oxymelle uocato, sæpenumero utilem inuenies in his morbis: siquidem sputũ educit, spiritũq; reddit faciliorem. Atq; hæ sunt eius occasiones. Quòd si uehementer fuerit acidum, modum in sputis quæ nõ facilè reddũtur

©BIU Santé



ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα, καὶ ὄλισθον ἐμποιήσειεν, καὶ ὥσπερ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν πλεύμονα. μαλθακτικὸν γὰρ αὐτέου. καὶ εἰ μὲν ταῦτα συγκυρήσειεν, μεγάλην ἂν ὠφελείην ποιήσειεν. ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ, οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλισχρῆναί τε καὶ ἔβλαψε. μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. ἐς μὲν οὖν τόδε προστεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος,

non ſeruabit. Etenim ſi retenta educeret, gutturq́; ipſum leue & lubricũ redderet, pulmonem haud mediocriter iuuaret, utpote q̃ molliẽdi uim obtineret: quæ ſi cõtingerent, inter maxima nimirũ eſſet auxilia numerandũ: ſed euenit interdum, quum uſq; adeò acutũ fuerit, ut nõ ſolũ nõ poßit ſputũ educere, uerumetiam uiſcoſius ipſum efficiat atque ſubmergat. Sanè illi potißimum ſic afficiuntur, qui alioqui pernicioſo morbo laborantes, neq; tuſſes, neque ea quæ intus continentur ſcreare poſſunt. His itaque ſic ſe habẽtibus, ægri uires perpendere.

©BIU Santé



κάμνοντος, κἢν ἐλπίδα ἔχῃ διδόναι, διδόναι δὲ ἢν δίδῳς, ἀκροχλίαρον. καὶ κατ' ὀλίγον τὸ τοιόνδε, καὶ μὴ λάβρως, τὸ μέν τοι ὀλίγον, ἔποξυ. ὑγραίνει γὰρ τὸ στόμα τε καὶ φάρυγγα. ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον. ὑποχονδρίῳ δὲ, καὶ σπλάγχνοισι, καὶ τοῖσι ταύτῃσιν εὐμενές. καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει. τὸ γὰρ χολῶδες ἐν μέλιτι κολάζεται. ἔστι δὲ καὶ φυσέων καταῤῥηκτικόν. καὶ ἐς οὔρησιν προτρεπτικόν. ἐντέρου μέν τοι, τῶν κάτω μερῶν πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει. ἔστι δ' ὅτι

perpēdere, & si adhuc in spe fuerit, tum dare ipsum oportet, quū uerò dare decreueris, ut perquàm tepidū sit studendum est, ac neq; affatim, sed paulatim exhibendum est. Vbi uerò nō adeò fuerit acidū, os & fauces humectat, sputum euocat, sitim cōpescit, præcordijs, uisceribus, cæterisq; id genus partibus amicum est. Etenim mellis, quas prædiximus, noxas prohibet: quippe quod in melle biliosum est, ita reprimitur: flatus præterea illud quidem discutit, et urinā ciet: sed intestini partē imam laxat, & ramēta elicit. Atqui in

ὅτε καὶ φλαῦρον τούτου
ἐν τῇσιν ὀξείῃσι νούσοι-
σι γίνεται, μάλιστα μὲν
ὅτι φῦσαν κωλύει πε-
ραιοῦσθαι, ἀλλὰ πάλιν
ἀνδρομέειν ποιέει· ἔτι δὲ
καὶ ἄλλως γυιοῖ, καὶ τὰ ἀ-
κρωτήρια ψύχει. ταύ-
την καὶ οἶδα μούνην διὲ
ὀξυμέλιτος γινομένην
βλάβην, ἥτις καὶ ἀξίη
γραφῆς. ὀλίγον δὲ τὸ τοι-
οῦδε ποτοῦ, νυκτὸς μὲν
καὶ νήστει πρὸ ῥοφήμα-
τος ἐπιτήδειον προ-
πίνεσθαι· ἀτὰρ καὶ ὁ-
κόταν πολὺ μετὰ
ῥόφημα ᾖ, οὐδὲν κω-
λύει πίνειν. τοῖσι δὲ
ποτῷ μούνῳ διαιτω-
μένοισι ἄνευ ῥοφημά-
των, διὰ τόδε οὐκ ἐ-
πιτήδειόν ἐστιν αἰεί,
καὶ

in acutis morbis inutili-
ter nonnunquàm exhibe-
tur: præcipuè uerò, quia
non solum flatum cohi-
bet, uerũ rursus ipsum
reuerti cogit, uires fran-
git, & membrorũ extre-
mas partes infrigidat.
Atq; hæ sunt, quas equi-
dem nouerim, aceti mul-
si noxæ, haud indignæ
quæ literis prodantur.
Huius quidem potionis
paulũ noctu, ac ieiuno,
ante uidelicet sorbitio-
nem, rectè propinatur:
quanquã nihil prohibet
ipsam à sorbitiõe quoq;
bibere, modo longũ in-
teruenitat spacium. Por-
rò qui in uictus ratione
sola potione, posthabi-
tis sorbitionib. utuntur,
ijs ipsum non semper

©BIU Santé



καὶ διὰ παντὸς χρέεσθαι ἴστω, μάλιστα μὲν διὰ ξύσιν ἢ τρηχυσμὸν τῶν ἐντέρων. ἀκόπρῳ γὰρ ἐόντι, μᾶλλον ἐμποιέει ἄν. καὶ ταῦτα κενεαγγείης παρεούσης. ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν. ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ καὶ ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι. καὶ ἃ δεῖται προσωφελέειν, προσωφελοίη ἄν. ἐν κεφαλαίῳ δ' εἰρῆσθαι. αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ

μελαγ-

exhibere conuenit, uel ob hãc maximè causam, quòd intestina abradit, & exasperat, utpote tũ nihil stercoris continentia, & quidẽ uacuis iam uenis, atque fractis ab aqua mulsa uirib. Qđ si per uniuersum morbi decursum, ab hac potione, eaq; multa, præsidiũ aliquod expectaueris, paulũ aceti infunde, tantum uidelicet ut gustanti duntaxat sensum moueat: sic enim citra noxam, debita auxilia præstabit. Ceterũ acuta uis aceti, ut summatim dicã, his magis quibus amara, quàm quibus atra

bilis

©BIU Santé



μελαγχολικοῖσι ξυμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται, καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτέου. τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται. ἀναγωγὸν γὰρ μελάνων, ὄξος. γυναιξὶ δὲ τὸ ἐπίπαν, πολεμιώτατον, ἢ ἀνδράσιν ὄξος. ὑστεραλγὲς γὰρ ἐστι.

*bilis exuperat, conferre solet: quippe amara ab ipso dissoluũtur, & agitantur, ac in pituitã degenerant. Atra uerò bilis in massam attollitur, & multiplicatur. Nam acetum atram bilem parit. Mulieribus autẽ longè magis quàm uiris aduersatur, utpote q̧ uterum dolore cruciat.*

## DE AQVA.

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅτι προσθῶ. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι πλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγω-

*Aqua in acutis morbis potui datur, nec aliud ab ea præsidium petendum censeo. Neque enim in peripneumonia tußim sedat: nec est alia potio, quæ minus spu- tum*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 355 sur 669

©BIU Santé



ἀναγωγόν, ἀλλ' ἧσσον
τῶν ἄλλων, εἴ τις διὰ
παντὸς ὕδατι ποτῷ
χρέοιτο. μεσηγὺ μέν-
τοι ὀξυμέλιτος καὶ
μελικρήτου ὕδωρ ἐπιῤ-
ῥοφεόμενον ὀλίγον,
πτύελον ἀναγωγόν ἐστι,
διὰ τὴν μεταβολὴν τῆς
ποιότητος τῶν πο-
τῶν. πλημμυρίδα
γάρ τινα ἐμποιέει. ἄλ-
λως δὲ οὔτε δίψαν
παύει, ἀλλ' ἐπιπικραί-
νει. χολῶδες γὰρ φύ-
σει χολώδεσι. καὶ ὑπο-
χονδρίῳ κακόν. καὶ
κάκιστον, ἑωυτοῦ, καὶ χο-
λωδέστατον καὶ φιλα-
δυναμώτατον, ὅταν
ἐς κενεότητα ἐσέλθῃ.
καὶ σπληνὸς δὲ αὐ-
ξητικόν, καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρω-
μένον

tum producat, si crebro
quis eam biberit. Sanè
si inter oxymel & aquã
mulsam, aqua modicè bi
batur, sputum euocat: si-
quidem potionũ qualita
tem, facta inundatione
transmutat: alioqui neq;
sitim sedat, sed amare-
scit: bilẽ etiã parit in his
qui suapte natura bilio-
si sunt, præcordijs infe-
sta est. Quum uerò ua-
cuo etiã dum uentriculo
ingeritur, ut longè pes-
sima, & summè biliosa
redditur, ita uires maxi
mè prosternit. Lienem
& iecur, ubi inflamma-
tio

©BIU Santé



μένον ἤ. καὶ ἐγκλυδαστικόν τε ἐστὶν ἐπιπολαστικόν. βραδυπόρον τε γάρ ἐστι διὰ τὸ, ὑπόψυχρον καὶ ἄπεπτον εἶναι. καὶ οὔτε διαχωρητικόν, οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τὸ, ὅτι ἄκοπρόν ἐστι φύσει. ἢν δέ δὴ καὶ ποδῶν ψυχρῶν ποτὲ ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ,τι ἂν αὐτέων ὁρμήσῃ. ὑποπτεύσαντι μὲν τοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀποσχετέον.

tio infestat, attollit, fluctuat, supernatat, tarde transmittitur, utpote frigida, & coctu difficilis, non ducit aluũ, nec ciet urinam: atq; ex eo quoque uitiosa est, ꝙ stercoris suapte natura expers est. Quòd si refrigeratis aliquãdo pedib. quis eã biberit, ex iã propositis noxis omnib. illa multo grauius ipsum afficiet, ad q̃ fuerit procliuior. Vbi uerò in huiusmodi morbis timueris, ne uel caput uehementer grauetur, uel mens tẽtetur, tum uel aquam uel uinum aquosum, &

ὕδατι δὲ ἐν τῷ τοιῷδε χρηστέον, ἢ ὑδαρέα

©BIU Santé



καὶ λευκὸν παντελῶς
δοτέον οἶνον, καὶ ἄοσ-
μον παντάπασι, καὶ
μετὰ τὴν πόσιν αὐτοῦ,
ὕδωρ μεταποτέον ὀλί
γον. οὕτω γὰρ ἂν ἧσσον
τὸ ἀπὸ τοῦ οἴνου μένος
ἅπτοιτο τῆς κεφαλῆς
καὶ γνώμης. ἐν οἷσι δὲ
μάλιστα αὐτῶν, ὕδατι
ποτῷ χρυστέον. καὶ ὁκό
τε πολλῷ κάρτα. καὶ
ὅκου μετρίῳ. καὶ ὅκου
ψυχρῷ. καὶ ὅκου θερ-
μῷ, τὰ μέν που, πρό-
σθεν εἴρεαται. τὰ δὲ,
ἐν αὐτέοισι τοῖσι και
ροῖσι, ῥηθήσεται. πε-
ρὶ δὲ τῶν ἄλλων πο-
τῶν, οἷον τὸ κρίθινον.
καὶ τὰ ἀπὸ χλοίης ποι
εύμενα. καὶ τὰ ἀπὸ σταφίδος, καὶ στεμφύλων, καὶ
πυρῶν,

& album, & haudqua-
quàm odorum exhibere
oportet: deinde paulum
aquæ superbibere. Sic
enim uini potentia non
tam facilè caput et men
tem attinget. Sed in qui
bus affectibus, aqua po-
tui danda sit, & quãdo
plurima, & quando mo
dica, ac ubi frigida, &
ubi calida, partim iam
diximus, partim uerò
suo loco dicemus. Cæte-
rum de potionibus quæ
fiunt ex hordeo, herbis,
uua, uel eius corticibus,
tritico,

πυρῶν, καὶ κνίκου, καὶ μύρτων, καὶ ῥοιῆς, καὶ τῶν ἄλλων, ὅτε ἂν ἄντινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γέγραπται παρ' αὐτῷ τῷ νουσήματι, ὅκως τε καὶ τ' ἄλλα τῶν συνθέτων φαρμάκων.

*tritico, cneco, myrtis, malo punico, uel ex alijs quoq; rebus, quādo ipsis uti conueniat, seorsum à singulis morbis dicemus, ad quem locū composita quoque medicamenta seruamus.*

## DE BALNEIS.

Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δ' οὔ. ἔστι δὲ ὅτε ἧσσον χρηστέον, διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες ὡς δεῖ. εἰ δὲ μὴ παγκάλως

*Lauacri usus in plerisq; morbis cōfert, idq; in alijs quidem morbis perpetuū est, in alijs minimè. Sed raro utuntur eo homines, quòd ipsum præparare nesciunt, qppe in paucis admodū domibus, uel instrumenta uel ministri apti inueniuntur: et nisi exacta cura inter lauādū adhibeatur, haud mediocre pro*

©BIU Santé



λούοιτο, βλάπτοιτ' ἂν
οὐ σμικρά. καὶ γὰρ σκέ-
πης ἀκάπνου δεῖ καὶ
ὕδατος δαψιλέος. καὶ
τοῦ λουτροῦ συχνοῦ, καὶ
μὴ λίην λάβρου, ἤν γε
μὴ οὕτω δέοι. καὶ μᾶλ-
λον ἀλλὰ μὴ σμήχεσθαι.
ἢν δὲ σμήχηται, θερμῷ
χρέεσθαι αὐτέῳ, καὶ
πολλαπλασίῳ, ἢ ὡς
νομίζεται, σμήγματι.
καὶ προσκαταχεῖσθαι
μὴ ὀλίγῳ. καὶ ταχέως
μετακαταχεῖσθαι. δεῖ
δὲ καὶ τῆς ὁδοῦ βραχεί-
ης ἐς τὴν πύελον. καὶ
ἐς εὐέμβατον, καὶ ἐς
εὐέκβατον. εἶναι δὲ καὶ
τὸν λουόμενον κόσμιον,
καὶ σιγηλόν. καὶ μη-
δὲν αὐτὸν προσεξεργά-
ζεσθαι, ἀλλ' ἄλλους καὶ
καταχέειν

à lauacro malũ. Etenim
tegmine indiget æger
cui fumus non accedat:
itẽ aquæ abundantia &
creba lotione, sed quæ
nõ sit impetuosa, nisi res
ipsa ita exigere uidea-
tur. Ac neq; abstergere
eũ oportet: quod si ab-
stersionis usus aliquan-
do inciderit, calorifico
aliquo, eodẽq; multipli-
ci smegmate, pro ipsius
cõsuetudine, utendũ est.
Perfundere uerò celeri
ter multã aquam opor-
tet. Via ad soliũ breuis
sit, ut & accessũ, et exi-
tũ faciliorẽ præbeat. Is
uerò q eluitur decẽtem
cõpositũq; gerat corpo
ris habitũ, atq; taceat, ac
ne ipse quidẽ quicq̃ fa-
ciat.

©BIU Santé


κατα χέειν, καὶ σμήχειν. καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι. καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι. καὶ σπόγγοις χρέεσθαι ἀντὶ στλεγγίδος. καὶ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. κεφαλὴν μὲν τοι ἀνεξηραίνεσθαι χρὴ ὡς οἷόν τε μάλιστα, ὑπὸ σπόγγου ἐκμασσομένην. καὶ μὴ διαψύχεσθαι τὰ ἄκρεα, μήτε τὴν κεφαλὴν, μήτε τὸ ἄλλο σῶμα. καὶ μήτε νεοῤῥόφητον, μήτε νεόποτον λούεσθαι. μὴ δὲ ῥοφέειν. μὴ δὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν. μέγα μέντοι μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢ ὑγιαίνων ἦ φιλόλουτρος

ciat, sed alij perfundãt et abstergãt: deinde tẽperaturas multas præparẽt, & celeriter psusiones ipsas expediant. Spongia ꝑ strigili utantur, uehementer exiccatũ nõ ungãt. Caput adhibita spõgia tergendũ, et quantũ maximè fieri potest, siccandũ est. Extremæ membrorũ partes, et caput, ac reliquũ quoque corpus, à frigoris iniuria tueri debet. Neq; lauacro cõmittẽdus est is, q nup uel sorbitionẽ uel potionẽ sumpsit: ac à lauacro quidẽ ilicò uel sorbere, uel bibere cõuenit. Magnopere tamen laboranti indulgendum est, si quũ bona adhuc esset ualetudine, uel amauit

©BIU Santé



ἄγαν, καὶ εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοῖδε, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται μὴ λουσάμενοι. ἁρμόζει δὲ ἐν περιπνευμονίῃσι μᾶλλον, ἢ ἐν καύσοισι τουπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν, καὶ στήθεα, καὶ μετάφρενον, παρηγορικόν ἐστι τὸ λουτρόν. καὶ πτυέλου πεπαντικόν, καὶ ἀναγωγόν. καὶ εὔπνοον, καὶ ἄκοπον. μαλθακτικὸν γὰρ καὶ ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος. καὶ οὐρητικὸν δέ. καὶ καρηβαρίην λύει. καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν

lauacrum, uel elui cõsueuit. Quippe qui maiore lauacri desyderio tenentur, ij maius inde præsidium ferunt, adeò quòd læduntur quoq;, nisi lauentur. Peripneumoniæ magis quàm ardoribus auxiliatur lauacrũ: nanque lateris, pectoris, & dorsi dolorem mitigat, sputũ maturat, & educit, spiritũ facilem reddit, fatigationem lenit, articulos, & ambiẽtem cutẽ emollit, urinã ciet, capitis grauitatẽ soluit, nares humectat. Tanta ex lauacro proueniunt cõmoda, quibus nimirũ omnibus

ὧν πάντων δεῖ. ἢν μὲν καὶ τῆς παρασκευῆς ἐνδεῆ τις ἢ ἑνὸς ἢ πλεόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. ἐν γὰρ ἕκαστον αὐτέων, μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν, ὡς δεῖ. ἥκιστα δὲ λούειν, καιρὸς, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. ἀτὰρ οὐδὲ οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προεληλυθῆ. ἀλλ' οὐδὲ τοὺς γεγυιωμένους χρὴ λούειν οὐδὲ δὴ τοὺς ἀσώδεας, ἢ ἐμετικούς. οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμορραγέοντας

*omnib. indigemus. Quod si in apparatu, uel in re unica uel pluribus quoque peccatũ inciderit, tantum abest ut prosit, ut etiã noceat: nam quicquid à ministris improbè præparatũ est, id citra noxam esse non potest. Qui per morbos citatiore sunt aluo quã fuerit opportunum, aut quibus supra modũ aluus astricta, non ducitur, ij lauacro committi non debent, ac neque ij, quibus imbecillæ sunt uires, aut qui fastidio, aut uomitione affecti sunt, aut qui biliosa ructant, aut quib. sanguis è naribus*

©BIU Santé



γέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι. τοὺς δὲ καιροὺς εἰδέναι. ἢν δ' ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν. ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀῤῥήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λούοις, οὐδὲν ἁμάρτοις. χρέεσθαι δὲ λουτροῖσι, τοῖσιόλῃσι πτισάνῃσι χρωμένοισι, τῶν πουλὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μοῦνον χρεομένοισι. ἐνδέχεται δὲ καὶ τούτοισι ἐνίοτε,

ἥκιστα

bus profluit nisi minus, quã occasio expetit: effluat. Nec ignorare debes occasiones. Etenim si occasiõis respectu, exiguus est fluor, abluẽdus est æger, siue uniuersum corpus, siue caput, duntaxat, ita iuuari uideatur. Igitur si singula cõmodè parata sunt, si æger citra noxã lauacrũ subire potest: quotidie lauãdus est. Qd' si præterea lauacro delectatur, cũ si bis quoq; laueris, nõ lædes. Satius uerò est eos lauacro uti, q integrã ptisanã, q̃ qui solũ cremorẽ eius assumunt: & si his quoque nõnunquàm usui est. Qui uerò potu duntaxat utuntur,

minimè

BIU Santé



ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μοῦνον χρεομένοισιν. ἔστι δὲ καὶ οἷσι τούτων ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς τε μέλλει λουτρὸν ὠφελέειν, ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεταί τινος κατὰ τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέονται. οἷσι δὲ τούτων μηδενὸς προσδεῖ, καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων, ἐφ᾽ οἷσι λούεσθαι ξυμφέρει, οὐ δεῖ λούειν.

minimè lauacrum subeant, quanquàm horum nonnulli ab ipso arcendi interdum non sunt. Conijcere itaque oportet ex his quæ suprà demõstrauimus, quibus lauacrum, & in quo uictus genere, auxiliari poßit necne: si enim q́d piam eorum quæ ad lauacri bonitatem pertinent, deest, quáuis nonnihil præsidij à lauacro speraueris, lauari tamẽ non oportet. Quòd si nihil horum deest, uideaturq́; ex notis quibusdã usui fore, tum lauari conuenit.

©BIU Santé



# ΙΠ ΠΟΚΡΑ'ΤΟΥΣ

Κώου περὶ διαίτης ὀξέων βιβλίον τέταρτον.

# HIPPOCRATIS

Coi de ratione uictus in morbis acutis, Liber IIII.

## DE ARDORE.

ΚΑῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ, ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά. καὶ πυρετὸς πολὺς ἴσχει. τό, τε σῶμα ὡς ὑπὸ ὀστεοκόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει. γίνεται δὲ ὡς ἐπὶ τὸ πουλὺ, καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα

VEnæ æstiuo tempore exiccatæ auellũt ad ſeſe acrẽ biloſamq́; ſaniem. Vnde & uehemens febris oritur, & corpus fatigatione oppreſſũ laborat et dolet. Accidit autẽ magna ex parte, & ob longa itinera, & diutinã ſitim, quũ exiccatæ

©BIU Santé



θέντα τὰ φλέβια, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. γίνεται δὲ ἡ γλῶσσα τρηχείη, καὶ ξηρὴ, καὶ μέλαινα κάρτα. καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει. τά τε ὑποχωρήματα ἔξυγρά καὶ ὠχρὰ γίνεται. καὶ δίψαι σποδραὶ ἴσχει. καὶ ἀγρυπνίη. ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. τὸν τοιῶδε δὲ διδόου πίνειν, ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν, ὑδαρὲς, ὁκόσον ἐθέλῃ. ἐὰν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν ξυμφέρει. καὶ τὴν κοιλίην ὑποκλύσαι. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα

*exiccatæ uenæ, acres, calidas'que fluxiones alliciunt: quocirca lingua fit ſcabra, arida, et prænigra: uenter torminibus cruciatur: alui ſedimina liquida ſunt & pallida, uehemens ſitis cruciat, ſomnus, nequaquàm accedit, interdum mens quoque turbatur. Huic & aquæ, & aquæ mulſæ coctæ, quantum uoluerit, potui dabis. Quòd ſi amarulentum fuerit os, tū & uomere, & aluū eluere cōuenit: ſi uerò ne ab his quidē ſoluitur, ex aſinæ coctæ*

*lacte*

ὄνυ

©BIU Santé



ὄνῳ ἑψήσας, κάθαιρε. ἁλμυρὸν δὲ μηδὲν μήτε δριμὺ προσφέρειν, οὐ γὰρ ὑπεισίῃ. ῥοφήματα δὲ, ἕως ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. κἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος. κἢν ἱδρῶτες ἐπιγένωνται κρίσιμοι γνήσιοι μετ' οὔρων λευκῶν καὶ παχέων, καὶ λείων ὑφισταμένων. κἢν ἀπόστημά που γένηται. ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀῤῥωστίης, ἢ ἰσχίων, ἢ σκελέων ἄλγημα ξυμβήσεται. καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

Καύσου γένος ἄλλο. ἢ κοιλίη

lacte purgato. Nihil uel salsum, uel acre exhibendum est, nō enim descendet. Sorbitiones, donec morbus decretorios dies praeterierit, nō dato. Quumq; sanguis è naribus fluxerit, sudoresq; decretorij & legitimi fuerint atq; in urina alba quædā et crassa et leuia subsederint, aut si alicubi apparuerit abscessus, soluitur affectio. Quæ si nullo horum apparēte soluta fuerit, uel iterū reuertetur, uel coxā, aut crura dolor infestabit, & crassa quædā expuet, si uidelicet bonæ ualetudini restitui debeat.

Ardoris aliud genus, aluus

©BIU Santé



ἡ κοιλίη ὑπάγουσα, δίψης δὲ μεσή. γλῶσσα τρηχείη ξηρὴ, ἁλυκώδης. οὔρων ἀπόληψις. ἀγρυπνίη. ἀκρωτήρια ἐψυγμένα. τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ. ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται, ἢ ἰσχίου ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται. καὶ ὄρχις ἐνταθεὶς, κριτικόν. ῥοφήματα ἐπισπαστικὰ δίδου. τὰ δ' ὀξέα πάθεα, φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ

aluus soluta est, uehemēs sitis, lingua scabra, arida, salsa, urinæ defectus, uigiliæ, extremæ membrorū partes frigidæ. Huiusmodi ardor nō finitur, nisi aut ex narib. fluat sanguis, aut ceruici abscessus, aut cruribus dolor supueniat, atque crassa sputa quis excreet, id q̧ astricta aluo solet accidere, aut coxæ dolor, aut genitalium liuor appareat, aut testiculus intendatur: atque hoc modo solutā aluū ardor comitatur. Sorbitiones attractiuas dato. In acutis affectib. sāguinē detrahe, si uehemens uideatur morb. & infirmus ætate floreat abun-

deq̧

©BIU Santé



ῥώμη παρῆ αὐτέοισιν.
ἢν μὲν οὖν σύναγχος
ᾖ, καὶ ἐκλικτοῖσιν ἀνα-
κάθαιρε, εἴτ᾽ ἄλλο τι
τῶν πλευριτικῶν. ἢν
δ᾽ ἀσθενέστεροι φαίνων-
ται, ἢν καὶ πλείω τοῦ
αἵματος ἀφέλῃς, κλυσ-
μῷ κατὰ τὴν κοιλίην
χρέεσθαι, διὰ τρίτης ἡ-
μέρης, ἕως ἂν ἐν ἀσφα-
λείῃ γένοιτο ὁ νοσέων.
καὶ λιμοῦ χρήζοι. φλε-
γμαίνοντα ὑποχόν-
δρια μὴ πνευμάτων
ἀπολήψει, φρενῶν ἐν-
τάσιες, ἢ πνευμάτων
προστάσιες, ὀρθόπνοι-
ης ξηρῆς οἷσι μὴ πύον
ὕπεστιν, ἀλλὰ ὑπὸ
πνευμάτων ἀπολήψιος
τὰ παθήματα ταῦτα ὑπογίνεται μάλιστα δὲ
ἧπατος

detq; uiribus. Igitur si
angina fuerit, siue alius
quispiam morbus, ut co
stalis, ecligmate etiam
num purgato. Quòd si
ob multi sanguinis mis=
sionem, uires prostratũ
iri timueris, tertio quo=
que die clysterem aluo
inijce, donec in tuto fue
rit æger, & fame indi=
geat. Inflammata præ=
cordia septum transuer
sum nõ ab inclusis flati=
bus intentum, uel ob fla
tuũ quoq; præsentiam,
arida suspiria, quib. pus
non subierit, sed ubi fla=
tuũ clausura huiusmodi
affectus fiunt, potissimũ
uerò

©BIU Santé


ἥπατος περιωδυνίαι.
καὶ σπληνὸς βάρεα καὶ
ἄλλαι φλεγμασίαι τε
καὶ ὑπὲρ φρενῶν περιω-
δυνίαι τε καὶ ξυστροφαὶ
νοσημάτων, οὐ δύναν-
ται δύνανται λύεσθαι
ἤν τις πρῶτον ἐπιχει-
ρέῃ φαρμακεύειν. ἀλλὰ
φλεβοτομίη τῶν τοιῶνδε
ἡγεμονικόν ἐστιν. ἔπειτα
δὲ ὑποκλυσμὸν, ἢν μὴ
μέγα καὶ ἰσχυρὸν τὸ νό-
σημα ᾖ, εἰ δὲ μὴ καὶ ὕστε-
ρον φαρμακείης δεῖ.
δέεται δὲ ἀσφαλείης
καὶ μετριότητος, μετὰ
φλεβοτομίην φαρμα-
κείη. ὁκόσοι δὲ τὰ φλε-
γμαίνοντα ἐν ἀρχῇ τῶν
νόσων εὐθέως ἐπιχει-
ρέουσι λύειν φαρμα-
κείῃ, τοῦ μὲν ξυντε-
ταμένου καὶ φλεγμαί-

uerò iecoris dolores, lienis grauitas, ac reliquæ inflammationes: itē septi transuersi dolores, & morborū cōuersiones solui non possunt, si protinus ab initio medicamentis curationē aggrediaris. Nam præcipuū in his propositū est in primis sanguinem detrahere, deinde clysterem exhibere, idq; si magnus uehemēsq; fuerit morb. Si uerò nō ita uehemens fuerit, medicamēto curetur, qđ tute, moderateq; misso prius sanguine, adhibēdū est. Qui statim inter morbi initia inflāmationes medicamēto soluere conantur, ij à distenta, inflāma

©BIU Santé



νοντος, οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νουσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γενομένου, τὸ νόσημα ἐπικρατέει. ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιάτως ἔχει. τὸ δὲ ἄφωνόν τινα ἐξαίφνης γενέσθαι, φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τοῦτο ξυμβῇ ἄνευ προφάσιος, ἢ ἄλλης αἰτίης ἰσχυρῆς. φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν, τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος κατὰ τὴν ἕξιν, καὶ τὴν ἡλικίην διαλογιζόμενον

taq; parte nihil auferũt: affectus uerò, utpote crudus, non remittitur, ac partes sanè & morbo resistentes, colliquescunt: quocirca morbus imbecillum iam corpus uincẽs, curationi nõ obedit. Si repẽte quis obmutuerit, is uenarũ conclusione molestatur: si sano homini sine occasiõe, ac sine alia uehementi causa, acciderit, dextri brachij internam uenã secare oportet, & pro habitus ætatisq; ratione, sanguinẽ detrahere, considerando

©BIU Santé



ζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον. ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων, τοιάδε. ἐρυθήματα προσώπου. ὀμμάτων στάσιες. χειρῶν διαστάσιες. ὀδόντων τρισμοί. σφυγμοὶ σιαγόνων. συναγωγὴ καὶ καταψύξις ἀκρωτηρίων. πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. ὁκόταν ἀλγήματα προσγένηται μελαίνης χολῆς, καὶ δριμέων ῥευμάτων ἐπιῤῥύσιες γίνονται. ἀλγέει γὰρ τὰ ἐντὸς δακνόμενον. δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες, ἐντείνονταί τε. καὶ φλεγμαίνουσαι, ἐπισπῶνται τὰ ἐπιῤῥέοντα. ὅθεν

derando exuperantiam atque defectum. Porrò sic affectis, huiuscemodi quoq; casus eueniunt: faciei rubor, oculorũ constantia, manuum incontinentia, dentiũ stridor, pulsus, maxillarum contractio, extremarũ partium frigus, flatuũ in uenis conclusio. Superueniẽte ab atra bile dolore, acriq; ruẽte fluxione, internæ partes mordicus dolent, uenæ uellicatæ aridioresq; factæ tendũtur, & inflammatæ alliciunt ad sese ea quæ affluunt: quãobrem corrupto

©BIU Santé



διαφθαρέντος τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιές τε γίνονται ὑπὸ τοῦ στάσιος. καὶ σκοτώσιες. καὶ ἀφωνίη. καὶ καρηβαρίη. καὶ σπασμοί, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα διέλθῃ, ἔνθεν ἐπίληπτοι γίνονται ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι, καταξηρανθῇ. ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας, φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων

corrupto ſanguine, ita ut ſpiritus in ipſo nequeant naturales meatus pertranſire, frigora ob plenitudinem eueniũt: itẽ obtenebrationes, taciturnitas, capitis grauitas, neruorum diſtentiones, idq́; præcipue ſi iã uel ad cor, uel iecur uel uenam peruenerit. Hinc igitur comitiales morbi, & attoniti proueniunt, ſi incõtinentes ſedes inciderint fluxiones, ſpirituq́; egredi nequeunte, areſcant. Quapropter ſtatim ab initio, adhibito prius fomẽto, ſanguinẽ detrahere oportet, dum adhuc omnia infeſtantia, tum flatus, tũ fluxiones

ρων ἐόντων, πάντων, τῶν λυπεόντων πνευμάτων, καὶ ῥευμάτων. εὐβοηθητότερα γάρ ἐστι καὶ ἀναλαμβάνοντα, ἐς τὰς κρίσιας ἐπιθεωροῦντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω. τὴν δὲ κάτω κοιλίην μὴ ὑποχωρέειν κλυσμῷ, ὄνου γάλα ἑφθὸν διδόναι καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτύλων. ἢν δὲ ῥώμη αὐτὸν περιέχῃ, πλεῖον ἑξκαίδεκα.

xiones suspendũtur, sic enim facilius uincuntur remedijs. Deinde reficere, atq; habita indicationis ratione, nisi sursum ferantur, medicamentis purgare. Quòd si aluus astricta fuerit, clysterẽ inijce, & coctum asinæ lac exhibe, idq́; plusquã sedecies, si uires tolerare poßint.

## DE ANGINA.

Κύναγχος δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες, ὥρην χειμερινὴν ἢ ἐαρινὴν, ἐς τὰς

Angina fit, quũ hyeme aut uere, multa eadẽq; uiscosa fluxio ad iugula

σφαγίτιδας φλέβας ἐπιῤῥυῇ. καὶ τὸ ῥεῦμα πλεῖον, διὰ τὴν εὐρύτητα ἐπισπάσωνται. ὁκόταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ, τὰς τε πνεύματος τὰς διεξόδους, καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξυνεγγὺς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιέει, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν. διὰ τοῦτο πνίγονται τῆς γλώττης ἀποπελιουμένης, καὶ στρογγυλουμένης, καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλοῦσιν, ἑκατέρωθεν

res uenas descenderit, quæ quidem, utpote amplæ, plurimum ad sese spiritũ conuellunt. Quũ itaque fluxio quæ frigida, uiscosaq; est, & spiritus, et sanguinis meatus obstruxerit, quicqd sanguinis proximũ est, figit, ipsum uerò immobilem, constantemq; efficit: quippe quæ suapte natura refrigerãdi, obstruendiq; facultatẽ obtinet. Proinde suffocantur ægri, lingua liuẽte, rotũda, et incurua, propter subditas ei uenas. Præcisa enim uua, quã nõnulli columellam uocant, utrinque crassæ apparent

©BIU Santé



φλὲψ παχεῖα. ὁκόταν γὰρ πλήρεις αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται, ἀραιὴν ἐοῦσαν καὶ σπογγώδεα, διὰ τὴν ξηρασίην. ἡ δ' ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν, στρογγύλη γίνεται. ἐξ εὐχρόνου δὲ, πελιδνή. ἐκ μαλθακῆς δὲ, σκληρή. ἐξ εὐκάμπτου δὲ, ἄκαμπτος. ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ. φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων, καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτάμνων. καὶ φαρμακεύων τοῖσιν ἐκλεικτοῖσι. καὶ ἀναγαρ-

parẽt uenæ, quæ ubi impletæ sunt, linguæ, quæ bo ſiccitatẽ rara, fiſtuloſaq́; eſt, innituntur. Hæc deinde ui coacta, ex uenis humorẽ ſuſcipit: quã ob rem latitudo in rotunditatem, coloris uenuſtas in liuorem, mollities in duritiẽ permutatur, ut quæ facilè antea flectebatur, curuari nequeat. Itaque celeriter iugulat, niſi protinus iuueris, ſanguinem ex brachijs detrahendo, deinde uenas ſub linguа ſecare, medicamento qđ trahẽdo uim habeat purgare, calida gargariſmata

©BIU Santé



γαρίζων θερμοῖσι. καὶ τὴν κεφαλὴν ἀποξυρῶν. καὶ κήρωμα κεφαλῇ, καὶ τραχήλῳ περιτιθέναι. καὶ εἰρίοις περιελίσσειν. καὶ σπόγγοισι μαλθακοῖσι. ἐν ὕδατι θερμῷ ἐκπιεζεῦντα πυριῆν. πίνειν τε ὕδωρ καὶ μελίκρητον, μὴ ψυχρά. χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

garismata exhibere, caput radere, eidem atque ceruici ceratum imponere, lanis inuoluere, molli spongia ex aqua calida fouere, aquam egelidam, & aquã mulsam, sed ne hanc quidem frigidam, potui dare, iusculum quoque tum exhibere oportet, quum indicato iam morbo, tuto fuerit æger.

## ALIVD ANGINAE GENVS.

Ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυνῇ, καὶ νιτρῶδες ἅτε ἀπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον. διάκνῃ δὲ τὸ

ριόνδε

Quum per æstatem, aut autumnũ, calida fluxio à capite destillauerit, eáque nitri qualitatem imitetur, fueritque, ut ab anni tempore, acris & calida, hæc quũ

huiusmodi

©BIU Santé



τοιόνδε ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπίμπλησι. καὶ ὀρθόπνοια προσγίνεται. καὶ ξηρασίη πολλή. ἔστι τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται. καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται. καὶ δοκέει ὥσπερ τέτανος ἐντετάσθαι. καὶ ἡ φωνὴ ἀπέῤῥωγε. ἔστι τὸ πνεῦμα σμικρόν. καὶ ἡ ἐντίσπασις τοῦ πνεύματος, πυκνὴ καὶ βιαίη προσγίνεται. οἱ τοιόνδε, τὴν ἀρτηρίαν ἑλκοῦνται. καὶ τὸν πνεύμονα πίμπλανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τοιουτέοισιν ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη

huiuſmodi fuerit, mordet, ulcerat, ſpiritu implet, orthopnœã, & ariditatem uehementẽ inducit. Partes autẽ, quas uiſus cõſequi poteſt, tenues apparẽt: tendines ceruicis poſteriores adeò intenduntur, ut rigidi uideãtur: uox abrumpitur, ſpiritus paruus eſt, ſpiratio denſa uiolentaq;. Atque ſic affectis arteria ulceratur, pulmo ardet. Nanq; externum aërem attrahe re non poſſunt. Itaq; niſi ſua ſponte in exteriores partes huiuſmodi affectus efferatur, grauiſsimũ ineuitabileq; periculum cõminatur: idq;



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 379 sur 669

©BIU Santé



καὶ ἀφυκτοτέρη ἐστὶ,
διὰ τὴν ὥρην, ὅτι ἀ-
πὸ θερμῶν καὶ δρι-
μέων. Ἢν πυρετὸς
λάβῃ παλαιῆς κόπρου
οὐκ ὑπεούσης, ἢ νεοβρῶ-
τι ἐόντι, ἤν τε ξὺν ὀδύ-
νῃ πλευροῦ, ἤν τε μὴ,
ἡσυχίην ἄγειν, μέχρις
οὗ καταβῇ τὰ σιτία
πρῶτον ἐς τὴν κάτω
κοιλίην, πόματι δὲ
χρέεσθω, ὀξυμέλιτι. ὁ-
κόταν δὲ ἐς τὴν ὀσφὺν,
βάρος ἥκῃ, κάτω κλύ-
σαι κλυσμῷ, ἢ καθά-
ραι φαρμάκῳ. ὁκόταν
δὲ καθαρθῇ, διαιτᾶν ῥο-
φήματι πρῶτον, καὶ πό-
ματι μελικρήτῳ, ἔπει-
τα σιτίοισι, καὶ ἰχ-
θύσιν ἑφθοῖσι, καὶ οἴ-
νῳ ὑδαρεῖ, ἐς νύκτα
ὀλίγῳ.

propter anni tẽpus, &
quod à calidis acribusq;
cõstat humoribus. Si fe-
bris aliquẽ inuadit, uete-
re nondũ deiecto sterco
re, aut nuper accepto ci
bo, is, siue lateris dolor
infestet, siue non, quieti
permittẽdus est, donec
ad imũ uentrẽ cibus pri
mũ descẽderit, ac subin-
de acetũ mulsum in po-
tu sumat. Quũ uerò gra
uitas ad lũbos usq; de-
scẽderit, tum uel clyste-
rẽ exhibere, uel medica
mẽto purgare cõuenit:
mox à purgatione uictũ
instituere, atq; in primis
sorbitionẽ, deinde aquã
mulsam, postremo ci-
bos, pisces, uidelicet, eli
xos exhibere, & uinũ di
lutũ idq; exiguũ, atq; no

©BIU Santé



ὀλίγῳ. ἡμέρῃ δὲ, ὑδαρὲς μελίκρητον. ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, οὕτως ἢ βαλάνῳ, ἢ κλυσμῷ, εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην. εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν. ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέει φαρμακεύειν, ἐπιτηδείως ἔχειν εἴσω τριῶν ἡμερῶν, μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον. ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρεόμενος, διαφυλάσσειν τοὺς παροξυσμοὺς τοῦ πυρετοῦ, ὅκως μηδέποτε προσοίσῃς ἐόντων, μὴ δὲ μελλόντων ἔσεσθαι, ἀλλὰ

ληγόντων,

*ctu dũtaxat: interdiu uerò aquã mulsam dilutã. Si flatus fœtidi fuerint balneũ cõuenit aut clyster, nisi acetũ mulsum epotum obstiterit, donec ad imum uentrem descenderit: tum enim aluũ ducere, iniecto clystere nihil prohibet.*

*Vbi soluta aluo, ardor acciderit, uideaturque medicamẽtum posse cõferre, id intra tres dies exhibendũ non est, sed quarto. Quum à uacuatione sorbitiones exhibere uolueris, obserua febrium accessiones, ut neq; quum adsunt, neq; quum uenturæ sunt, eas ingeras, sed quum iam*

©BIU Santé



ληγόντων, ἢ παυσαμένων, καὶ ὡς προσωτάτω ἀπὸ τῆς ἀρχῆς. ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτ᾽ ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγεῖσθαι τοῦτ᾽ εἶναι διαφυλάσσειν ἕως ἂν διάθερμοι σφόδρα γένωνται. ἔπειτα τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπὶ τὸ πολὺ σημεῖον ἐστὶ μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ, ψύξις ποδῶν. εἰ δ᾽ ἐν τούτῳ τῷ καιρῷ προσοίσεις ἅπαντα, τὰ μέγιστα ἐξαμαρτήσεις. τὸ γὰρ νούσημα αὐξήσεις οὐ μικρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνον-

*finitæ sunt, aut conquieuerunt, & quum maximè ab initio distare uidentur. Cæterum pedibus frigore affectis, neque sorbitionem, neque aliud quicquã dato, sed maximũ te præsidiũ attulisse putato, si donec percalfacti fuerint expectaueris, deinde sic utile quidpiam exhibueris: siquidem refrigerati pedes magna ex parte iam affuturam febris accessionem, significãt. Quo tẽpore si cibũ ingesseris, omnia maximè errore turbabis, ut qui non parũ auxeris morbum. At quum febris quieuerit, tũ econtrario pedes reliquo corpore*

*fiunt*

©BIU Santé



ται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρακος, ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἄλεος τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκες καὶ νευρώδεες φύσει ὑπάρχοντες. ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρηκα. καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει.

*fiunt calidiores. Aucta enim febris pedes ipsos refrigerat, atque ex thorace incensa, mittit flammam in caput. igitur uniuerso calore confertim superiores partes petente, euaporanteq; in caput, nihil mirum est, si pedes infrigidantur: quippe qui suapte natura ut carnis expertes sunt, ita neruis abundãt, ac non parum distãt calidis sedibus itaque collecto in pectore calore ipsi refrigerantur. Sic haud absimili ratiõe, uicta, quiescẽteq; febre calor in pedes descendit.*

κατὰ

©BIU Santé


κατὰ τόνδε οὖν τὸν χρό-
νον, ἡ κεφαλὴ καὶ ὁ θώ-
ρηξ κατέψυκται αὐ-
τέων. εἵνεκεν τουτέου,
προσακτέον. ὅτι ὁκό-
ταν οἱ πόδες ψυχροὶ
ἔωσι, θερμὴν ἀνάγκη
τὴν κοιλίην εἶναι, καὶ
πολλῆς ἄσης μεστήν.
καὶ ὑποχόνδριον ἐκ-
τεταμένον. καὶ ῥι-
πτασμὸν τοῦ σώμα-
τος, διὰ τὴν ἔνδοθεν
ταραχήν. καὶ μετεω-
ρισμὸν γνώμης. καὶ ἀλ-
γήματα. καὶ ἕλκεται.
καὶ ἐμέειν ἐθέλει. καὶ ἢν
πονηρὰ ἐμέῃ, ὀδυνῆ-
ται. θέρμης δὲ καταβά-
σης ἐς τοὺς πόδας, καὶ
οὔρου διελθόντος, ἢν μὴ
ἱδρώσῃ. πάντα λω-
φᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν, δεῖ τὸ ῥόφη-
μα

ſcendit, atque hoc tem-
pore, et caput, et pectus
refrigerantur, ac tum
cibus dandus. Cuius rei
cauſam ſic accipe. Nam
occupante pedes frigo-
re, uẽtriculum calidum,
& faſtidio affectum, at
que præcordia intenta
eſſe neceſſe eſt: quineti-
am corpus ob internam
turbationem iactatur,
mens ſuſpenditur, dolo
res infeſtant, æger di-
ſtrabitur, uomere affe-
ctat, quumq; uitioſa quæ
dã uomuerit, dolore af-
fligitur. Ergo quũ in pe
des calor deſcẽderit, ni
ſi ſudare uideatur, emiſ
ſo prius lotio, ſorbitio-
nem

©BIU Santé



μαδιδόναι. τότε δὲ,
ὄλεθρος. ὁκόσοισι δὲ
διὰ τέλεος ἡ κοιλίη ἐν
τοῖσιν πυρετοῖσιν ὑ-
γρὴ, τουτέοισι διαφε-
ρόντως τοὺς πόδας
θερμαίνων καὶ περι-
στέλλων, κηρώμασι καὶ
ταινιδίοισι περιελίσ-
σων πρόσεχε, ὅκως μὴ
ἔσονται ψυχρότεροι τοῦ
λοιποῦ σώματος. θερμοῖ-
σι δὲ οὖσι, θέρμασμα μη-
δὲν πρόσφερε, ἀλλὰ
παρατήρει, ὅκως μὴ
ψυχθήσωνται. πόμα-
τι δὲ χρέεσθαι, ὡς ἐλα-
χίστῳ ὕδατι ψυχρῷ, ἢ
μελικρήτῳ. Ὁκόσοι-
σι δὲ ἐν πυρετοῖσι, κοι-
λίη ὑγρὴ, καὶ γνώμη τε-
ταραγμένη. καὶ οἱ πολ-
λοὶ τῶν κιστέων τὰς κροκύδας ἀφαιρέουσι, καὶ
τὰς

nem dare oportet, alio
qui perniciosam. Quib-
bus p febres aluus assi-
due soluta est, ijs utilius
est pedes calfacere, ce-
romata adhibere, & fa-
sciis inuoluere: nec unq̃
cõmitte ut reliquo cor-
pore ipsi sint frigidio-
res: ubi uerò calẽt, calo
rificis opus nõ est: sed
ne infrigescant, cauen-
dũ est, deinde uel aqua
frigida, uel aqua mulsa,
eaq; pexigua, potui dan
da est. Febricitãtes non
pauci, quib. aluus liqui-
da est, & mẽs turbata,
floccos decerpe, nares

©BIU Santé



τὰς ῥῖνας σκάλλουσι, καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δὲ ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε, μελαγχολικὰ εἶναι. ὁκόσων τοιῶνδε ἐόντων, ἢν ἡ κοιλίη ὑγρὴ ᾖ καὶ συντήκῃ, δοκέει μοι τὰ ῥοφήματα, ψυχρότερα καὶ παχύτερα προσφέρειν. καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα, ἢ στυπτικώτερα. Ὁκόσοισι δὲ τῶν πυρετῶν, δῖνοί τε ἀπ' ἀρχῆς, καὶ σφυγμοὶ κεφαλῆς εἰσὶ καὶ οὖρα λεπτά, τουτέοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν. οὐ θαυμά-

σαιμι

fodere, interrogati paulum respondere, neque sua sponte quicquàm aptum dicere solēt. Hæc, ut opinor, ad atram bilem pertinēt: quibus in hunc modum se habentibus, si ob aluum solutam homo consumi uidetur, sorbitiões, mea quidem sententia frigidiores, craßioresq́; potiones uerò reprimētes, et magis uinosæ, aut astringentes exhibendæ sunt. Quibus inter febriū initia, uertigines et capitis pulsationes accidūt, fuerintq́; urinæ tenues, iis febris impetus apud iudicationem expectādus est. q̃ si tū delirant, nihil

mirandum

σαι μὴ δ' ἄμ, οὐδ' εἰ παραφρονήσειαν. οἷσιν ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺς κινύσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ. ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτά, μὴ φαρμάκευε τοὺς τοιούτους, ἀλλ' ἢν δοκέῃ κλύσαι. τούτους ξυμφέρει, οὕτως θεραπεύεσθαι τῷ σώματι ἡσυχίην ἄγοντα ἀλείφοντά τε καὶ περιστέλλοντα, ὁμαλῶς. ποτῷ δὲ χρέεσθαι, μελικρήτῳ ὑδαρεῖ. καὶ ῥοφήματι, χυλῷ πτισάνης ἐς ἑσπέρην. κοιλίην δὲ ὕπαγε κατ' ἀρχὰς κλυσμῷ. φάρμακα δὲ μὴ προσάγειν τούτοισιν. ἢν γάρ τι κινήσῃς

mirandum eſt. Quibus incipiente morbo urina craſſa eſt, aut ueluti nubeculæ in ipſa ſuſpendũtur, eos purgare conuenit, ſi nihil aliud obſtiterit. Qui uerò tenues urinas ab initio mingũt, medicamento purgandi non ſunt, ſed clyſterem exhibendo, eos curare in hunc modum oportet: corpus quieti permittere mox & ungere & æqualiter componere, aquam mulſam dilutam potui dare, ad ueſperã ptiſanæ cremorẽ ſorbere, aluum ab initio clyſtere ducere. Sed medicamẽtum eis dandum non eſt: ſi enim aluum



citaueris,

©BIU Santé



κίνησις κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ' ἀνιδρώς τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔσται. τὰ δὲ ῥοφήματα ὁκόταν ἐγγὺς τῶν κρισίων ᾖ, μὴ διδόναι ἢν θορυβῆται. ἀλλ' ὅταν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τὸν καιρόν. μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἱ δὲ γίνεσθαι, καὶ ἀποσκήμματα ἴσχειν ἢν μετὰ τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον. ἢν δὲ μὴ ψυχρά, ἄλλας ἴσχει μεταβολάς. ῥεῖ δὲ καὶ αἷμα ἐκ ῥινῶν.

citaueris, nō maturabitur urina, sed febris diu sine sudore pmanebit, et post longū quoq; spaciū finietur. Neq; sorbitiões per tumultū, quum, scilicet, proxima fuerit iudicatio, dare, sed donec inclinetur, et in melius tēdat febris, eas seruare oportet. Omnium praeterea febriū iudicationes cōsyderādae sunt: nā co tempore, ut iam didicisti, sorbitiones sunt auferendae. Si longae fuerint huiusmodi febres, aegri abscessus habere solent, idq; si aurium imae partes, ceruixq; frigescat. Si uerò nō afficiātur frigore, alia erit febriū mutatio: nā et sanguis fluet è naribus.

©BIU Santé



ῥινῶν, καὶ αἱ κοιλίαι τοῖσι τοιούτοισιν ἐκταράσσονται. ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεες εἰσι, καὶ ὑποχόνδρια συντείνουσι, καὶ κατακλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ. καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείας καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο, ἢ ὀξύμελι ὑδαρές. ῥόφημα δὲ μὴ προσφέρε, ἕως ἂν λήξῃ καὶ τὸ οὖρον πεπανθῇ. κατακλίνειν δὲ ἐς ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πλεῖστον χρόνον ἐπὶ τὰ αὐ-

τὰ

*naribus, & uentres eorum turbabuntur. Quibus molestæ febres sunt & præcordia tendūtur & in cubili continere in eodē se positu nequeūt, atq; extremæ membrorum partes infrigidantur, ij multa omnino diligentia, accurata obseruatione indigent: atque sic educandi sunt, ut nihil aliud quàm acetum mul.um eis exhibeatur: sorbitiones nequaquàm offeres, donec morb. finiatur et maturetur urina: in obscuro cubiculo decumbere debent, & strato perquàm molli, diu eundem positum to-*



lerare,

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 389 sur 669

©BIU Santé



τὰ καρτερέοντα, καὶ ὡς ἥκιστα ῥιπτάζειν. μάλιστα γὰρ τοῦτο τοὺς τοιούτους ὠφελέει. περὶ δὲ τὸ ὑποχόνδριον, λίνου σπέρμα ἐγχρίειν περιτιθέν, φυλασσόμενος ὅκως μὴ φρίξῃ προστιθέμενον. ἔστω δὲ ἀκρόχλιαρον, ἑφθὸν ὕδατι καὶ ἐλαίῳ. τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων, τὸ μέλλον ἔσεσθαι. ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω. ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν ἐπὶ τὰ χείρω, καὶ ἐπὶ τὰ βελτίω, τὴν ἀνωμαλίην.

lerare, & haudquaquã se iactare, quo præsidio nullum aliud salubrius est. Deinde præcordia ex lini semine linere, cauendo ne dum illinũtur frigus horrorem citet: ipsum uerò tepidũ esse debet, quãtum maximè potest. Coquitur autem ex aqua & oleo. Quid autem futurum sit, ex lotio conijcere oportet: ut enim crassum pallidũq; melius est, ita peius est id quod uel cãdicat uel nigrum est. Varium uerò lotiũ, diuturniorem fore morbum significat, cuius inæqualitatẽ, modo ad peius, modo ad melius conuerti necesse

cesse

BIU Santé



λίην. τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν, ἐᾶν μέχρις ἂν καταστῶσιν, ὁκόταν δὲ στῶσιν ἀπαντῆσαι δίαιτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων, διὸ προσεκτέον τῷ ἰωμένῳ, ὅκως μὴ διαλήσεταί τις τῶν προφασίων. μήτε τῶν κατὰ λογισμόν. μήτε ὁκόσα ἐς ἀριθμὸν ἄρτιον, ἢ περισσὸν δεῖ φανῆναι. μάλιστα μὲν ὧν δεῖ περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτερορρόπεας ποιέουσι τοὺς κάμνοντας. φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ἐν

ceſſe eſt. Incōſtantes febres ſinere oportet, donec in ordinē redigantur: deinde & uictus rationem & aptam curationē eis opponere, non neglecta naturæ cōtemplatione. At quia uariæ ſunt ægrotorum facies, animaduertat medicus ne ullæ ipſum occaſiones lateant, ſiue ad conſyderationem illæ pertineāt, ſiue ad numerum uel parem uel imparem referantur. Maximè uerò impares dies metuēdi ſunt, qui uidelicet ægros in diuerſas affectiones diſtrahere conſueuerūt, obſeruandus itaque primus dies eſt

©BIU Santé



οὗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν, ἐξ ὅτου καὶ ὅτε. ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ἔρῃ αὐτὸν καὶ διασκέψῃ ταῦτα πάντα, πρῶτον μὲν κεφαλὴν, ὅκως ἔχῃ, εἰ ἀνάλγητος, καὶ μὴ βάρος ἔχῃ ἐν ἑαυτῇ. ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ, εἰ ἐπίπονον ἦν, ἢ ἐπηρμένον, ἢ ἔχῃ τινὰ σκολιότητα, ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα τῷ ἀλγήματι, ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης. ὅταν δέ τι τούτων παρῇ, ἐν ὑποχονδρίῳ

μὲν,

quo debilior factus est laborans consyderando initiū, ex quo et unde acciderit, id enim præcipuum esse putatur qđ scire oporteat. Itaq; interrogando ipsum, hæc omnia perpēdere debes. In primis quidē capitis affectionem, an dolore, grauitateq; infestetur: deinde præcordia & latera: hæc quidē nullo'ne dolore crucietur, illa uero, num laborent, aut suspendātur, aut intorqueantur, aut satietate grauentur, an latus doleat, an simul cū dolore tussis, aut tormina, uel uentris dolor infestet. Qđ si horū quidpiā acciderit potissimū in præcor

dijs

©BIU Santé



μεῖν, μάλιστα λύειν τὴν κοιλίην, κλυσμοῖσι. πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. καταμανθάνειν δὲ καὶ ποῖσιν ἐξαναστάσεσιν, εἰ λιποθυμέει. ἢ εἰ τοῦ πνεύματος εὐφορίην αὐτὸ ἔχει. ἰδεῖν τε καὶ διαχώρησιν, μή τι μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα. καὶ εἰ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα. καὶ ὁ πυρετὸς ἐς τὴν τρίτην ἢν παροξυνόμενος. κατιδὼν δὲ εὖ μάλα τοὺς κινδύνους ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα, συνορᾷν. καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ

dijs, aluus soluenda clysterib. est, & aqua mulsa eaq; cocta calidaq; potui detur. Præterea discere oportet, an exurgẽtem animus deficiat, an spiritus facilè feratur. Ad hæc alui quoque sedimina inspicere, an nigro admodum colore infecta sint, an syncera sint, qualia scilicet sanus deijcere consueuerat. an febris tertio quoque die magis irritetur, qppe in his morbis accurate cõsyderãdæ sũt huiusmodi tertianæ afflictiones. Quinetiã alia quædã aspicere oportet. Nã si dies quartus, in aliquo iã dictorũ, tertio fuerit

©BIU Santé


τι τῆς αὐτῆς τούτων, κινδυνώδης ὁ κάμνων γίνεται. τὰ δὲ σημεῖα ἢ μὴ μέλαινα διαχώρησις θάνατον σημαίνει. ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντι ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον. ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη, διαναστὰς ἐπὶ τὸν θρόνον, ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἢν ἀψυχίη ἐνῇ. ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ, καταρχὰς, παραφροσύνην οἴου ἐσομένην. προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. ἢν γὰρ τρομεραὶ ἔωσιν προσδέχου τῷ τοιῷδε ἀπόστασιν αἵματος ἐκ ῥινῶν

similis, scire licet infirmum in periculo uersari. Sūt praeterea alia signa, ut nigra excrementa, quae mortem: si uerò per omnes dies qualia in sanitate deijciebātur, appareant, bonam ualetudinem denunciant. Si dum glans supponitur aluus nō obedit, sed spiritus facilè fertur: si aegrū, siue erectus in sede, siue in ipso quoq; cubili iaceat, animus deficit: haec siue mari siue foeminae acciderint, futurum deliriū expectato. Manus etiam cōsiderandae sunt, quae si tremunt, sanguinis ex naribus fluxurus

BIU Santé


ξηρῶν ἐσομένην. ὁρῆν δὲ χρὴ καὶ τοὺς μυκτῆρας ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται. καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. ἢν δὲ σπασμὸς γένηται περὶ τοιῶδε, θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν. εἰ δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχείη γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει περὶ τοιῶδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ, καὶ τῇ ὑδατοποσίῃ, καὶ μελικρήτου πόσει, καὶ χυλοῖσι παραφυ-

xurus eſt. Deinde nares quoque aſpiciatur: nam ſi æqualiter per utraſque multus ſpiritus trahitur, neruorum ferè diſtentio ſuperuenire ſolet. Id ubi acciderit, in propinquo mortem eſſe teſtatur, quã prædixiſſe perpulchrum fuerit.

Si hyemali febricula laboranti, lingua ſcabra fit, animusq; deficit: quã quã quietior febris uidetur, nihilominus tamen imperari debet inedia, ab aqua quoq;, & aqua mulſa, atq; cremore ar-

cendus

©BIU Santé


λάοσε, μηδὲν πιστεύων
τῇ ἀνέσει τῶν πυρετῶν.
ὅσοι δὲ τοιάδε ἔχουσι ση-
μεῖα, ἐπικίνδυνοί εἰσι
θνήσκειν. ὁκόταν δὲ
ταῦτα συνειδῇς, οὕ-
τω προλέγειν ἤν σοι
ἀρέσκῃ θεωρήσας εὖ
μάλα. ὁκόταν δὲ πυ-
ρετοῖσι φοβερόν τι γέ-
νηται πεμπταίοισιν ἐοῦ-
σιν, ἢ κοιλίη τε ἐξαίφ-
νης ὑγρὰ διαχωρήσῃ
καὶ ἀψυχίη γένηται,
ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ
σπασμώδης γένηται,
ἢ λυγμώδης, ἐπὶ τού-
τοισι καὶ ἀσώδης φι-
λέει γενέσθαι, καὶ πε-
ρὶ ὑπορίνιον καὶ μέ-
τωπον ἱδρῶτες, καὶ
αὐχένα ὄπισθεν τῆς
κεφαλῆς. οἱ δὲ ταῦτα πάσχοντες θνήσκου-
σιν

cendus est: febrib. enim
quibus hæc accedunt si-
gna, haudquaquã fiden-
dũ est, utpote à quibus
mortis periculũ pẽdet.
His igitur accurata per
pensione consyderatis,
in hunc modum, si pla-
cet, præsagire poteris.
Quum uerò terrificum
quidpiam febribus su-
peruenerit, fuerint que
ipsæ quintanæ, & aluus
de repẽte liquida quæ-
dã excernit, acceditq; a-
nimi defectio et tacitur
nitas, et neruorũ disten
tio, & singultus, ab his
angor euenire solet, ac
sudor circa mustacẽ, frõ
tẽ, & ceruicẽ ab occipi-
tio. Qui sic affecti sunt.

©BIU Santé


σιν οὐκ εἰς μακρὸν πνευματωθέντες. ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίνεται φυματώδεα, καὶ ἐγχρονιζόμενα, μὴ ἐκπεπαίνηται ἔτι ἐόντων ἐν πυρετοῖσι, καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μὴ σβεσθῇ, φιλεῖ τῷ τοιῷδε, αἷμα ἐκ τῶν ῥινῶν ῥέειν. καὶ ἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου. ἢν δὲ μὴ, μακρήν. ὁκόσῳ δ᾽ ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τ᾽ ἄλλα ῥήϊστα γένηται, προσδέχεσθαι τῷ τοιῷδε, ἐς πόδας ἀλγήματα. ἢν δὲ ἅψηται τοῦ ποδός,

paulò post inflati moriuntur. Quibus per febres circa crura orta tubercula, tractu tēporis non maturantur, perdurāte etiamnum febre si faucibus iampridē extenuatis suffocatio accesserit, neque extincta fuerint tubercula, ijs solet sanguis è narib. fluere: qui si plurimus eruperit, morbum soluit: si uerò non ita multus, longum fore morbū significat: & quo minus fluxerit eo peior, & diuturnior erit ægritudo. Vbi uerò cætera quidem securißima fuerint, pedū dolores expectādi sunt. Pede itaq; sic affecto,

καὶ

καὶ ἐπώδυνος γενόμενος παραμένῃ περιφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ μικρὸν ἥξει. καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληῖδα, καὶ ἐς ὦμον, καὶ ἐς στῆθος, καὶ ἐς ἄρθρον. καὶ τοῦτο δεῖσαι φυματῶδες γενέσθαι. σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται, ἢ τρομεραὶ γένωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει, καὶ παραφροσύνη. ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν, καὶ ἐρυθήματα ἴσχει, καὶ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαστάνει. καὶ σκληρὴ φλεγμονὴ κατέχει. καὶ οἰδέει ἰσχυρῶς

si aßidue dolens inflammatur neq; leuetur dolor, paulò post ad ceruicem, iugulum, humerũ, pectus, articulum: nam & in hoc tubercula expectari debent, dolores perueniẽt. Quibus extinctis, si manus ulcerantur, aut tremiscunt, neruorũ distẽtio & deliriũ superuenit, in superciliis pustulæ, ruboresq́; nascuntur, gena altera ad alterã ex latere germinat, dura inflammatio infestat. oculus uehementer tumet, delirium ualde

BIU Santé



ἰσχυρῶς ὁ ὀφθαλμός. καὶ παραφροσύνη μέγα ὑποδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι, τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν, ἢ ἐπὶ τὸν ἄρτιον. ὁκοτέρων δ᾽ ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθρια ἐπιγίνονται. τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης ἢν βορβορύζῃ ἡ κοιλίη. εἰ δὲ μὴ, ἐᾶν ἀφαρμάκευτον εἶναι. ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῳ ὑποκάθαιρε μετρίως.

τῇ δὲ

ualde intenditur. Atqui delirij signa, noctu magis, quàm interdiu notantur. Atque huiusce modi signorũ plura, diebus imparibus magis q̃ paribus deprehenduntur, quanquã utrolibet eueniãt numero p̃niciosa cẽsenda sunt. Hos si à principio medicamẽtis purgare decreueris, ante diem quintũ id facere oportet, si uidelicet murmurauerint intestina, nullo uerò percepto murmure, à medicamẽtis abstinendũ est. Quòd si murmurante uẽtre, excremẽta quoq; fuerint biliosa, exhibito Scãmonio modice purga-

©BIU Santé



τῇ δὲ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ ῥοφήματα, ἵνα βελτίονας ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην, ἐπανέντες. ὁκόταν πυρέττοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει ἥκειν λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νουσήματος γίνεσθαι, ἀλλὰ χρόνου τὸ τοιοῦτο σημαίνει. ὁκόταν δὲ φανῇ ἐν τῇ ἡμέρῃ ταύτῃ μακρότερον ξυμπίπτει. ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρά,

φιλέει

ga: deinde quod ad reliquam curationem pertinet, potiones, sorbitionesq; exiguæ offerendæ sunt, quo melius ualeat infirmus, nisi fortasse diem decimumquartũ excesserit. Quum febricitans aliquis, die decimo quarto obmutuerit, is non solet celeriter aut solui, aut à morbo liberari: quũ uerò eadẽ die apparuerit, lõgius procedit. Si febricitãti quarto die lingua cõturbata quædã disserit, et aluus excernit biliosa, & liquida,

©BIU Santé



φιλέει παραληρεῖν ὁ τοιόσδε. ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ. καὶ ἐς τὴν ὑστεραίαν λεπτῶν οὔρων ἐπιφάσιας. καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ, καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικός. ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν, ἢ σπασμόν. ἐὰν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται βέλτιον. ἐν

quida, is ferè delirabit. Sed accurata obseruatione cõsyderanda sunt ea quæ accidũt tum æstate, tum autumno, idq; in morbis acutis. Nã si sanguis subito destillauerit, robur & uenarũ inflammationẽ declarat, & quòd postero die urinæ tenues apparebunt: quòd sitũ uigeat ætas, fueritq; corpus ob exercitatiões bene corporatũ, aut melancholicũ, aut manus ob potationẽ tremulæ, haud absurdũ fuerit, aut delirium, aut neruorum distẽtionem præsagire. Id uerò salubrius est si parib. eueniat dieb. quippe in decre

toriis

©BIU Santé



περισήμηνοι δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἅλις ἀποσυθὲν αἷμα ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας, ἢ κατὰ ἕδρην, ἢ ἐμπυήσιας, ἢ μεταστάσεις, ἢ ἀποστάσεις, ἢ πόνους ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα. λυθέντων δὲ τούτων, ἔξοδοι γίνονται. πτυσμοὶ παχέων οὔρων. λείων. λευκῶν. ἔξοδοι. πυρετῷ λυγγώδει, ὀπὸν σιλφίου. ὀξύμελι, δαῦκον τρίψας, πιεῖν δίδου. καὶ χαλβάνην ἐν μέλιτι. καὶ κύμινον ἐκλικτικόν. καὶ χυλὸν πτισάνης μετὰ τούτοισι ῥοφέειν. ἄφυκτος δὲ ὁ τοιοῦτος. ἢν

torijs perniciosum est, nisi multus sanguis confertim aut per nares, aut per anum effusus, exuperantem plenitudinem finiat, aut abscessum, uel dolores, praecordiorũ, testiculorum, aut crurum inducat. Quibus solutis, redduntur sputa fluunt quae urinae crassae, leues, candidae. Si febrienti singultus accidit, laser, daucum tritũ ex aceto mulso potui detur, item galbanum ex melle, & cuminũ in eligmate: mox ab ijs ptisanae cremorẽ sorbeat, quanq̃ nulla salus per huiusmodi affectum

©BIU Santé



ἢν μὴ ἱδρῶτες κρίσιμοι καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται, καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ ἐς ἀπόστασιν στηρίξῃ. κόκκαλος καὶ σμύρνα, ἐκλεικτόν. πίνειν δὲ τούτοισι διδόναι, ὀξύμελι ὡς ἐλάχιστον. ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος.

ctum speranda est, nisi uel sudores decretorij, aut somni æquales superuenerint, aut urinæ crassæ, acresq́; effluxerint, aut apparuerit abscessus. Ex cocallo, id est, fructu pini, & myrrha eligma eis exhibendũ est, sed aceti mulsi perquã exiguum: quòd si admodum siti crucietur, aquã hordei bibant.

De peripneumonicis & pleuriticis.

Τὰ δὲ περιπλευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι, ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ. καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ, ἀμφοτέρων. καὶ τοῦ πνεύματος δὲ ἀναφερομένου, ἢν πονέῃ. καὶ βῆχες ἐνεῶσι, καὶ πτύσματα ἀνῇ πυρρὰ. ἢ πε-

In peripneumonia et pleuritide, q̃ acuta sit febris, consyderandũ est. item ambóne latera, an unũ duntaxat dolor infestet, an ægre spiritus reddatur, an tußis cruciet, an sputũ educatur, sitq́; uel rufum uel liuidum,

©BIU Santé



λια, ἢ καὶ λεπτὰ, καὶ
ἀφρώδεα, καὶ ἀνθηρὰ,
καὶ εἴτι ἄλλο διάφορον
ἔχοι, παρὰ τὰ μεμαθη-
κότα τούτοισιν, οὕτω
χρὴ διάγειν, ἢν μὲν
ὀδύνη ἄνω περαίνει
πρὸς κληῗδα, ἢ περὶ
μαζὸν ἢ περὶ βραχίονα
τάμνειν χρὴ τὴν ἐν τῷ
βραχίονι φλέβα τὴν
εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ
τῶν μερέων, κατὰ τὸ δέ.
ἀφαιρέειν δὲ κατὰ τὴν
τοῦ σώματος ἕξιν, καὶ ὥ-
ρην, καὶ ἡλικίην, καὶ χροί-
ην, πλεῖον καὶ θαρσίαν.
κἢν ὀξὺ τὸ ἄλγημα ᾖ,
ἄγειν πρὸς λειποψυχί-
ην. ἔπειτα ὑποκλύζειν.
μετὰ τοῦτο. ἢν δὲ ὑποκά-
τω τοῦ θώρηκος ᾖ τὸ ἄλ-
γημα καὶ συντείνῃ λί-
ην, τῷ πλευριτικῷ τὴν
κοιλίην ὑποκάθαρε. μεσηγὺ δὲ τοῦ καθάρσιος,

dum, uel tenue et spumo
sum & floridum, aut si
alias quasdam differen
tias præter iam declara
tas habuerit, eas sic di-
ducere oportet. Si do-
lor ad superiores par-
tes extēditur, ut iugulū
mām illam, brachiū, in-
ternā brachij uenā seca
re oportet, ab eo uideli
cet latere quo dolore fue
rit affectū, et pro corpo
ris habitu, & anni tēpo
re, et ætate, et colore, sā
guinē detrahere, uti co
piosior sit purgatio, si
dolor fuerit acutus, ad
animi defectionē duce-
re. Postea clysterē exhi
bere. Si uerò sub pecto-
re pleuriticū dolor ue-
hemēter cruciat, uenter
purgādus est: atque inter

©BIU Santé



μηδὲν δίδου. μετὰ δὲ κάθαρσιν δὲ ὀξύμελι φαρμακεύειν δὲ τεταρταῖον. τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν. δὲ ἢν μὴ κουφίζῃ οὕτως, ὑποκαθαίρειν. φυλακὴ δὲ ἔστω, ἕως ἀπύρετος καὶ ἑβδόμης. ἔπειτα ἢν ἀσφαλὴς γένηται ἐὼν, τότε ὠ. χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον σὺν μέλιτι μίσγων, δίδου. ἢν δὲ ἀνάγηται ῥηϊδίως, καὶ εὔπνοος ᾖ, καὶ ἀνώδυνος τὰ πλευρὰ κατὰ σμικρὸν, παχυτέρῳ τε καὶ πλείονι, καὶ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ ἐλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα

purgandũ quidẽ nihil, à purgatione uerò acetũ mulſum dare conuenit. Porrò die quarto purgandũ: ſed trib. ab initio diebus clyſteres exhibere, quib. ſi dolor leuatus nõ eſt, tum demũ purgare oportet. Cautè tamen obſeruãdũ eſt dũ febris ſoluatur, ſeptimusq́; dies prætereat: deinde ſi æger in tuto eſſe uidetur, tũ exiguũ, tenuemq́; cremorẽ, eũq́; melle conditũ in primis exbibere. deinde ſi facilè reducitur, et benè ſpirat, & latera dolore uacant: paulatim craſſiorem, ac liberalius, nempe eadem die bis, dare non erit alienum. Si uerò non facilè liberari poſſe uideatur, tum minore potione,

ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ. καὶ ἐν ὁποτέρῃ ἂν ὥρῃ, βέλτιον διάγει. γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢν πέπονα τὰ οὖρα, ἢ πτύσματα ἴδῃς γεγενημένα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον καὶ λεπτότερον, οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν. οὐδὲ πέσσειν ὁμοίως. οὐδὲ τὰς κρίσιας ὑπομένειν. ἀλλ᾽ ἐπειδὰν ξυντήξιες ὠμῶν γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, ἀνθέξει οὐδέν. πέπονα δὲ ἐστὶ τὰ μὲν πτύελα

ὁκόταν

exigua sorbitiōe, & cremore tenui utatur, idque semel dūtaxat, ea uidelicet, hora, qua melius degit: hanc uerò ex urinis deprehendes. Sorbitio enim in huiusmodi morbis exhibēda nō est, donec & urinæ & sputa maturescere uideantur. Si medicamēto quis purgatus creberrimè deijcit, eū parcius, ac magis tenuiter alere oportet: is enim obstāte uacuatione, neque dormire, neque cōcoquere, ac neque iudicatiōes sustinere potest, sed postquam cruditas colliquata fuerit, et quæ restiterunt abiecta, tum nihil prohibebit pleniorem ei cibum exhibere. At uerò scire licet sputa

©BIU Santé

BIU Santé



ὁκόταν γένηται ὅμοια τῷ πύῳ. τὰ δὲ οὖρα τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα, ὁκοῖον ὄροβος. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων, καὶ χλιάσματα προστιθέναι, καὶ κηρώματα. ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφὺν, θερμῷ. καὶ λίπος ἐγκαταλείφειν. ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης, ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα, καὶ οἱ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται.

tum esse maturū, quū duri simile uidetur: urina uerò, quū id q̄ residet, sicut eruū subrubrum est. Cæterū nihil prohibet ad alios quoq; laterum dolores, tepida fomēta, & ceromata adhibere, atq; crura, & lūbos, calido ungere, & pinguedine illinire: præcordijs uerò ad māmillas usq; ex lini semine cataplasma imponere. Quū ad uigorē iam puenit peripneumonia, nisi expurgetur, in nullo auxilio sperādū est, quippe quæ mala est, præsertim si difficulter spirat æger, fuerintq; urinæ tenues et acres, atq; sudores in capite, ceruiceq; oriantur.

©BIU Santé



οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροί, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ἐπικρατεόντων τῶν νοσημάτων. ἢν μὴ οὖρα πολλά, καὶ παχέα ὁρμήσῃ, καὶ πτύσματα πέπονα ἔλθῃ. ὅ, τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νόσημα. Περιπλευμονίης ἐκλικτόν, χαλβάνη καὶ κόκκαλος, ἐν μέλιτι ἀττικῷ. ἀβρότονον ἐν ὀξυμέλιτι. πέπερι, ἐλλέβορος μέλας, ἀποζέσας, καὶ πλευριτικῷ ἐν ἀρχῇ περιωδύνῳ ἐόντι, δίδου. ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα, διδόναι πίνειν. καὶ ἡπατικοῖσι, καὶ τοῖσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι. καὶ ὁκό-

tur. Eiuſmodi enim ſudores mali ſunt ob uincentis morbi æſtũ, impetũ, ac uiolentiã, niſi urina multa & craſſa eruperit, et ſputa matura procedãt: utrũlibet enim ſi ſua ſpõte ſupuenerit, ſoluẽdi morbi uim obtinet.

Eligma ad peripneumoniã Galbanũ & coccalus, id eſt pinearũ nucleus, ex melle attico. Abrotonũ ex aceto mulſo. Item pleuritico Piper, Veratrum nigrum coquito, & in principio quũ infeſtat iam dolor dato. Prodeſt etiam Panace ex aceto mulſo cocta, deinde pcolata, et potui data. Similiter & hepaticis & renum

σα δὲ ἐς κοιλίην. ἢ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι. τὰ δὲ ἐς κοιλίην, σὺν ὕδατι μελικρήτῳ πίνειν πλείω διδόναι. δυσεντερίη ἀπόστημα, ἢ ἐπὶ ἡμέρῃσι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς, ἢ ἱδρῶτας, ἢ οὖρα παχέα, καὶ λευκὰ καὶ λίαν ἐπιφανῆ, ἢ ἐς τριταίους. ἢ ἐς κιρσὸν, ἢ ἐς ὄρχιν, ἢ ἐς σκέλεα, ἢ ἐς ἰσχία στηρίξῃ ἡ ὀδύνη. ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης μετὰ ῥίγεος ἴκτερος ἐπιγενόμενος, λύει τὸν πυρετόν. ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται, ἔξω τῶν καιρῶν, ὀλέθριον.

doloribus. ac ubi aluus citāda est, aut urina, ex uino & melle. Quæ ubi ad uētrem exhibentur, magna ipsorū quātitas ex aqua mulsa diluta in potu sumatur. Sic etiam sedabis dysenteriā, abscessum, aliosq; quosdā tumores, nisi uel in febres uel sudores, apparētibus urinis craßis, albis, dilutis, uel in tertianas uel uarices transierit, aut in testiculos, aut crura, aut coxam, dolor tanq̄ ad firmā stabileq; sedē ꝑmutetur. Si ante septimū diē febricitāti supcrueniat morb. regius simul cū horrore, soluitur febris: si uerò sine horrore, atq; extra occasiones siue extra tēpora acciderit, perniciē denūtiat.



©BIU Santé

©BIU Santé


Τέτανοι δὲ ὀσφύος, καὶ ὑπὸ μελαγχολικῶν διὰ φλεβῶν, πνευμάτων ἀπολήψιες ὁκόταν ἴωσι, φλεβοτομίη λύει. ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, καὶ ἱδρῶτες περὶ τράχηλον καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου δακνομένων, καὶ ξηραινομένων τῶν τενόντων, καὶ τῶν οὐρωδέων, οἱ παχύτεροι τὴν ῥάχιν ξυνέχουσιν, ἢ οἱ μέγιστοι σύνδεσμοι, καταπεφυκότες ἕως ἐς πόδας ἀποτελευτῶσι, τῷ δὲ τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ τὰ ἐπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ, καὶ ἱδρῶ-

Lumborū rigores, ac ob atram bilem factæ spirituū interceptiones detracto sanguine soluuntur. Sed quum per tendines uehementer in anteriorem partem retrahūtur, ac ceruix, & facies sudauerit, utpote uellicatis, aridisq; ob laborem tēdinibus, caudæq; uinculis, quæ uidelicet crassiora quū sint, spinam continent, ubi maxima uincula exorta, ad pedes usque tendunt, ibiq; finiuntur. Qui sic afficitur, si neque febris neq; somnus superuenerit, sed sequatur urina coctionē significās, atq; sudores

τες

© IU Santé


τες κριτικοί, πίνειν οἶνον κριτικὸν οἰνώδεα. καὶ ἄλητον ἑφθὸν ἐσθίειν. καὶ κηρωτῇ ἀλείφειν, καὶ ἐγχρίειν. τά τε σκέλεα περιειλίσσειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων ἐν σκάφῃ. καὶ βραχίονας ἕως δακτύλων κατειλίσσειν. καὶ ὀσφὺν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων. σίαλον ἐγκηρώσας μαλακῷ δέρματι, ὅπως καὶ τὰ ἔξωθεν περιέξει. καὶ διαλιπὼν πυρίας τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύσῃς, ἢν μὴ βαλάνῳ, ἢν πολὺς ὁ χρόνος ᾖ καθ᾽

ſudores decretorij, is uinum Creticum uinoſum epotet, edat polentã coctam, cerato ungatur illinaturq́;, crura in ſcapha, prius calida aqua perfuſa, ad pedes uſq; inuoluat: item brachia uſq; ad digitos. Spinam etiã & lumbos à ceruice incipiẽdo ad coxas, mollẽ pellẽ ſaliua ſubigens, ut exteriores quoque partes contineant. Relictis deinde fomentis, uter aqua calida plenus ac lintheo tectus adhibeatur. Aluus nõ admodũ ſoluenda eſt: ſatis enim fuerit glandẽ ſupponere, ubi, ſcilicet, iam pridem

©BIU Santé



ἢν ἀδιαχώρητος μένει. καὶ ἢν ἐπιδιδῷ τί σοι ἐπὶ τὸ βέλτιον. εἰ δὲ μή, τοῦ μόδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει, καὶ δαύκου, πινέτω δ' οὖν πρωῒ νήστει, πρὸ τοῦ βρέχειν. καὶ ταχὺ ἐπὶ τούτοισι, τὸ ἄλευρον ἑφθὸν χλιαρόν, ἐσθιέτω ὡς πλεῖστον, καὶ οἶνον ὁκόταν βούληται εὔκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. εἰ δὲ μὴ προλέγειν. τὰ δὲ νουσήματα πάντα, λύεται, ἢ κατὰ στόμα, ἢ κατὰ κοιλίην, ἢ κατὰ κύστιν, ἢ τινος ἄλλου τοιούτου ἄρθρου. ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη, κοινὴ ἁπάντων.

Ἐλλεβο-

pridem fuerit astricta. Quòd si nihil in melius proficere uideatur.

τοῦ μόδου. Modi, radicem tritam ex uino odorato, & Dauci, mane ieiuno, ante fomenta, potui dato, idq; celeriter deinde polentam coctam, tepidam, liberaliter comedat, bibatq; uinum temperatũ quum uoluerit, atque sic fortasse melius ualebit. Sin minus, ad præsagiũ refugere oportet. Morbi omnes soluuntur, aut per os, aut aluũ, aut uesicam, aut aliquam aliam huiusmodi particulam. Sudoris uerò species omnibus communis est.

Veratro

©BIU Santé



ἐλλεβορίζειν δὲ χρὴ, οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. ὁκόσοι δὲ ἐξ ἀποστημάτων, ἢ φλεβορραγίης ἢ διὰ ἀκρασίην ἢ διὰ ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιουτέοισιν, οὐδὲν γὰρ ὠφελήσει. καὶ ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ἐλλέβορος. ἢν δὲ διαλύηται τὸ σῶμα, ἢ πόνος ἐν κεφαλῇ, ἢ ἐμπεπλασμένα τὰ ὦτα, ἢ ῥὶς, ἢ πτυελισμὸς, ἢ γουνάτων βάρος, ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅτι ἂν συμβαίνῃ μήτε ὑπὸ ποτῶν, μήθ' ὑπὸ ἀφροδισίων, μήτε ὑπὸ λύπης, μήτε ὑπὸ φροντίδων,

Veratro purgare oportet eos quib. à capite destillatio fertur. Quib. uerò uel abscessus, uel uenæ ruptura, uel intēperātia, uel alia aliqua uehemēs causa suppurationem fecit, ijs ueratrū haudquaq̃ dandum est, quippe q̃ tū nihil præsidij affert: etenim si ob aliā forte causam, æger quidpiā passurus est, id omnino ad Veratrū referetur. Si uerò corpus resoluitur, aut caput dolet, aut obstructæ sunt aures, aut nares, aut sputū nō redditur, aut genua grauitate infestantur, aut corpus præter cōsuetudinē intumescit: quicquid eiusmodi acciderit, siue ob potationē, uenerem, mærorē, curas,

©BIU Santé



μήτε ἀγρυπνιῶν. κἂν ἦν
μέν τι τουτέων ἔχῃ αἴ-
τιον, πρὸς τοῦτο ποιέε-
σθαι τὴν θεραπείην. Τὰ
δὲ ἐκ πορείης ἀλγήμα-
τα πλευρέων, νώτου,
ὀσφύος, ἰσχίων, καὶ
ὁκόσα ἀναπνέοντες ἀλ-
γέουσι πρόφασιν ἔχον-
τες, πολλάκις γὰρ με-
μάθηκε φοιτῆν, ἐκ κραι-
παλέων, καὶ βρωμά-
των φυσωδέων ἀλγή-
ματα ἐς ὀσφῦν καὶ ἐς
ἰσχία οἷσι δ' ἂν ἀντέ-
ων ἢ τοιάδε, δυσουρέ-
ται. τούτων δὲ πορείη
αἰτίη, καὶ κορυζέων καὶ
βράγχων. Ὁκόσα δὲ
ἀπὸ διαιτημάτων, τὰ
μὲν πολλὰ ἕκαστος ὡς
ἂν παρὰ τὸ ἔθος διαι-
τηθῇ, μάλιστα περὶ ση-
μαίνει.

*ſiue uigilias, quodcunq;*
*horũ cauſæ rationẽ ha-*
*buerit, ad ipſum curatio*
*nẽ dirigere oportet. Do*
*lores qui ab itinere pro*
*ueniũt, uel in lateribus,*
*aut dorſo, aut lũbis, aut*
*coxis, ac ſi aliquis inter*
*ſpirandũ dolet, alia ha-*
*bita occaſione, nã ſæpe-*
*numero lumborũ coxa-*
*rumq; dolores ex crapu*
*la, et cibis inflantib. pue*
*nire ſolẽt, itaq; q huiuſ-*
*modi accidẽtibus affici-*
*untur, urinã difficulter*
*reddũt. Horũ omniũ cau*
*ſa eſt iter, ac præterea*
*deſtillationum quoq; et*
*raucedinis. Sed quæ ob*
*uictus rationẽ eueniũt,*
*horũ multa unuſqſq;, ut*
*in uictu à conſuetudine*
*maxiẽ aberrauit, ita ap-*

©BIU Santé



μαίνῃ. καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστῆν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρός, καὶ νυσταγμός, καὶ πληθώρη. ἢν δὲ ἐπιδειπνήσωσι, καὶ λίην ἐκταράσσεται. ξυμφέρει δὲ τούτοισιν ἐκλουσαμένοισιν καθεύδειν. ἐκκοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὸν περίοδον. καὶ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον. ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ. καὶ ὑδαρέα οἶνον λευκόν, ἢ γλυκύν, ἢν διψῇ ἐπιπίοντα ἀναπαύεσθαι. ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι.

tißimè declarabit. Etenim q prādere nō cōsueuerūt, si pransi fuerint, uenter eorū intumescit, somnolenti redduntur & pleni. Quòd si prætereà cœnauerint, uenter ipsi turbabitur: quibus utile fuerit à balneo dormire: expergefactis uerò circuitione lenta illa quidē, sed crebra, inambulare: deinde deiectis alui onerib. paulum uini meraci assumere. Si uerò aluus non fuerit soluta, calido unguento corpus ungere mox uinum dilutum, album, aut dulce, si sitiāt, bibere, atque sic cōquiescere. Reliqua uerò uictus ratio haud secus q̄ ubi

παύεσθαι. τὰ δ' ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω.

Τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι. καὶ ἐγκυκλέεται. καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια. καὶ ἐς οὔρησιν οὐ κατατρέχει. τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπράξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι, βίῃ, ἢ τάχει πονέειν ξυμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν

ubi crapula aliquem læsit, instituēda est. Potiones, dilutæ quidē, tarde permeant, circunducuntur, & supernatant in præcordijs, nec urinam mouent. Qui huiusmodi potione plenus est, nullum opus, quod uidelicet eliquato iam corpore, aut ui, aut celeritate aggrediendum sit, celeriter perficere ualet. Itaq; à cibo, donec concoctus fuerit, quiescere oportet. Meraciores uerò, austerioresq; potiones, corpori tremorē, & capiti

τῇ

©BIU Santé



τῇ κεφαλῇ ἐμποιέει, τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν πρὸς ὅπερ μάλιστα ἡδέως ἔχουσι. νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην καὶ κραιπάλην. ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοι καὶ ἀδύναμοί εἰσι, καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ τὸ στόμα, ἁλικὸν καὶ πικρόν. καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ, καὶ κροτάφους ἐπιξηντείνονται. καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκως πρὶν ἢν ἠριστηκότες ἔωσι. τούτους δὲ χρὴ πίνειν ἔλασσον ἢ μεμαθήκασι. καὶ ὑγροτέρην μάζαν ἀντὶ

& capiti pulsationē inducūt. Proinde sic affectus superdormire debet, et calidū aliquod in sculū, quod q̄ iucundissimū ei uideatur, sorbere: uix enim citra noxā tolerat ieiuniū is, quē capitis dolor et crapula infestat. Qui uerò semel duntaxat comedūt, ij imbecilli sunt, & calidam emittūt urinam, utpote præter cōsuetudinē exinaniti, os ipsis salsum redditur, et amarū, et in quouis ope cōtremiscūt, tēpora tēdūtur, cœnā cōcoquere nō pinde possunt, ac si prāsi fuissent, quocirca minus quàm consueuerūt, bibere debēt. Et liquidiorē mazā panis

©BIU Santé



ἀντὶ ἄρτου. καὶ λαχάνων λάπαθα, ἢ μαλάχην, ἢ πτισάνην, ἢ σεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον ξύμμετρον καὶ ὑδαρέστερον. καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν. Βρώματα δὲ μάλιστα ἐπισημαίνει. Σκόροδον φῦσαν, καὶ θέρμην περὶ τὸν θώρηκα. καὶ κεφαλῆς βάρος. καὶ ἄσην, καὶ εἴ τι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν παροξύνειν ἄν. οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν. ἄριστον δὲ αὐτὸ φαγεῖν, εἰ μέλλοι τις ἐς πόσιν ἰέναι, ἢ μεθύειν.

panis loco assumere, ac ex oleribus Rumicẽ aut Maluã aut Betam, item ptisanã. Atq; dum cibantur, uinum modicũ bibere, idq; dilutius, à cœna parum ambulare donec urina defluat & mingant. Neq; inutiles sunt eis pisces elixi. Cæterũ ex cibis hi maximé notantur ut insignes. Alliũ flatum efficit, pectus calfacit, caput grauat, fastidium parit, dolorẽ qui antea infestare consueuit, irritat, urinam ciet: atque hæc est eius utilitas, sed tum maximé cõducit, ubi quis uel potationi, uel ebrietati indulgere proposuerit.

Τυρὸς

Τυρὸς δὲ φῦσαν ἐμποιεῖ. καὶ στενότητα. καὶ σιτίων ἔξαψιν ποιέει. τότ' ὠμὸν καὶ ἄπεπτον. κάκιστον δὲ ἐν ποτῷ φαγεῖν πεπληρωμένοισιν. Ὄσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ καὶ ἑφθὰ. καὶ πεφρυγμένα, καὶ βεβρεγμένα, καὶ χλωρά. τούτοισι δὲ μὴ χρῆσθαι, ἢν μὴ μετὰ καὶ ἑτέρων σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας, ἕκαστον αὐτέων. Ἐρέβινθος μὲν φῦσαν ὠμὸς καὶ πεφρυγμένος καὶ πόνον ἐμποιεῖ. Φακὸς δὲ στύφει, καὶ ἄραδον ἐμποιεῖ, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει.

Σιλφίου

Caseus, flatũ inducit & angustiam, cibos accendit, cruditatem parit, et coctioni resistit: his uerò qui potu se repleuerunt, non alius cibus nocẽtior est. Legumina, & cruda & cocta & fricta, & macerata, & uiridia, omnia flatum excitant, quã ob rem, nisi cũ alijs cibis, ipsis utendũ non est. Præterea singulæ species sua habent uitia. Cicer siue crudũ siue frictum, flatum laboremq; parit. Lens, non detracto cortice, astringit, tumultum´que efficit. Lupinus uerò ab horũ uitijs uel minimis, quàm maximè abest.

Cc Laser

©BIU Santé



Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς, ἔστι μὲν οἷσι μάλιστα, τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται ἡ κοιλίη. ἀλλὰ καλέεται ξηρὴ χολέρη. μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ, ἢ κρεηφαγίης βοείων κρεῶν.

Τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα ἐπιπαροξυνθείη ἂν ὑπὸ βοείων κρεῶν. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. βέλτιστα δ' ἂν καὶ ἀπαλλάττοιεν, εἰ διέφθοισί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι. Αἴγεια δὲ κρέα, συμφορώτερα. πλὴν

Laserpicij tũ caulis, tũ succus, ut quibusdã maximè, ita inexpertis minimè aluũ ducit. Nominatur uerò arida cholera. Id uerò potißimum accidit, ubi cũ multo caseo aut bubularum carnium edulio miscentur. Quippe bubulæ carnes atrabilarios excitant, morbos: superari enim natura non potest, sed uẽtrem nõ mediocriter lædere natæ sunt, ut pote coctu difficiles. Quãq; facilimè descẽdũt, si coctis ipsis, uetustisq; quis utatur. Caprinæ carnes magis conducere uiderentur,

©BIU Santé



πλὴν ὅσα τε βοείοισιν ἔνι κακὰ πάντα ἔχει. ἤγουν τήν τε ἀπεψίην, καὶ φυσωδέστερα, καὶ ἐρευγματώδεα, καὶ χολέρης γεννητικά. ἔστι δὲ τὰ εὐωδέστατα, στερεά, καὶ ἥδιστα, ταῦτα ἄριστα δίεφθα καὶ ψυχρά. τὰ δὲ ἀηδέστατα καὶ δυσώδεα καὶ σκληρά, ταῦτα κάκιστα. ἀλλὰ δὴ καὶ τὰ πρόσφατα. βέλτιστα δέ ἐστιν ἐν θέρους καιρῷ. ἐν δὲ μετοπώρου καιρῷ, κάκιστα. Χοίρου δὲ πονηρά, ὁκόταν ἢ ὠμότερα ἢ περικαῆ. χολώτερα δ' ἂν εἴη, καὶ ἐκταρακτικά.

Ὕεια δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων. κρά-

τιστα

rentur, nisi omnia bubularum carnium uitia haberēt. Nam & coctu difficiles sunt, & flatum magis suscitant, & ructum bilemq; pariūt. Igitur ut odoratissimæ, & solidæ, & suauissimæ, saluberrimæ sunt, siue coctæ, siue frigidæ: ita iniucūdæ, odore graues, & duræ, pessimæ sunt. Nec secus de recentib. dicendū est. Præterea ut per æstatē optimæ sunt, ita per autumnū, ut pessimæ dānantur. Porcinæ carnes, siue subcrudæ, siue ambustæ sunt, malæ sunt. Nā & bilē pariūt, & turbationem. Suillis, nullæ aliæ carnes melio



res

©BIU Santé



τιστα δὲ τὰ μήτε ἰσχυρῶς πίονα, μήτε πάλιν ἰσχυρῶς λεπτά. μήτε ἡλικίην φέροντα παλαιοῦ ἱερείου. ἐσθίειν δὲ ἄνευ τῆς φορινῆς καὶ ὑπόψυχρα. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ πεφύσηται, καὶ ψόφοι ἔνεισι. καὶ ὀδύνη πλευρέων, καὶ ὀσφύος. διαχωρεῖ δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται. τὸν τοιόνδε διαφυλάσσειν, ὅκως μὴ ἐμέσηται. ἀλλ' ἡ κοιλίη ὑπελεύσηται. κλύσον οὖν ὅτι τάχιστα θερμῷ, καὶ ὡς λιπαρωτάτῳ. καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον κάθιζε θερμόν, ἐν σκάφῃ κατακλίνων. καὶ τοῦ θερμοῦ παράχεε κατὰ μικρόν.

res sunt: idq; si non admodum pingues, neque etiam pertenues sint, ac neque ueteris uictimæ ætatem sint assequutæ. At uerò reiecta pelle, et subfrigidæ edēdæ sunt. Arida cholera uentrem inflat, strepitum & dolorem, tum laterũ, tum lumborũ excitat, aluus nihil deijcit, sed astringitur. Eum qui sic affectus est obseruare oportet ne uomat, sed aluus ducenda est. Proinde ex aqua calida, eaq; quàm pingui clysterem adhibe: mox perunctum in aquam calidã demitte, ita ut decũbere posit, ac paulatim calida aqua

©BIU Santé



μικρόν. καὶ ἢν θερμαινομένῳ αὐτέῳ ἡ κοιλίη ὑπάγῃ, λέλυται. ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε. καὶ πίνειν οἶνον λεπτὸν, καὶ παλαιὸν, καὶ ἀκρητέστερον. καὶ ἔλαιον δίδου ὥστε ἡσυχίη. καὶ ἡ κοιλίη ὑπίῃ, καὶ λέλυται. σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. ἢν δὲ μὴ ἀνίῃ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ. ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ, καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι, καὶ ἔμετοι, καὶ πνιγμοὶ, τούτοισιν κράτιστον ἀτρεμίζειν. πίνειν δὲ μελίκρητον, καὶ μὴ ἐξεμέειν.

perſunde. Si enim ſic calfacto aluus ſubducitur, haud dubie ſoluitur morbus. Hunc ſomnus quoq; iuuat, ac bibere uinũ tenue uetus, idq́; meracius. Dabis etiam oleum, ut & quieſcat, & aluus ſubducatur, atq; ſoluatur affectus: à reliquis uerò cibis arceatur. Quòd ſi dolor non remittitur, lac aſinæ, donec purgetur, potui dãdum eſt. Soluta aluo, ſi bilis deijciatur, & tormina, uomitiones, ſuffocationes que infeſtant, quieſcere oportet, mox aquam mulſam bibere & non uomere.

©BIU Santé


# DE AQVA INTER CVTEM.

Ὑδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι, ἄφυκτος. ὁ δὲ μετ' ἐμφυσημάτων, πολλῆς εὐτυχίης δεόμενος. μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης, ξηρὰ καὶ δριμέα ἐσθιέτω. οὕτω γὰρ οὐρητικώτατος ἂν εἴη, καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος ᾖ, καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τύχῃ, καὶ ἡλικίῃ ἅμα ἀκμάζῃ, καὶ ῥώμῃ ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν. εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων, ἐσθιέτω. καὶ ὡς ἐλάχιστα

Aquæ inter cutẽ duo sunt genera, unũ subcarnosum: id hominẽ quum aggreditur, ineuitabile est. Alterũ ex flatibus cõstat, quod multa, eaq; bona fortuna indiget. maximè uerò erumnis, fomentis, tẽperantiaq; curatur. Igitur sic affecto aridos, acresq; cibos exhibere oportet, ita enim citißimè reddet urinã, et perq̃ fortis efficietur. Quòd si spiritus quoq; difficulter redditur, idq; uerno tẽpore, & in ætate uigoris, fuerintq; uires ualidæ, ex brachio sanguinẽ detrahere, mox calidos panes, ex uino nigro ac oleo submersos edere, atq; ut

©BIU Santé



ἐλάχιστα πίνειν, καὶ ὡς πλεῖστα πονεέτω. καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετὰ ὄξεος ἐφθά, ὅκως πρὸς τὰς προσάντεας περιπάτους ἀντέχῃ. Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑποχωρήματα, καὶ ἀνώμαλα διέρχεται, ὑπὸ συντήξιος αὐτέοισιν, ἢν μὲν δυνατοὶ ἔωσιν ἐλλεβόρῳ τῷ λευκῷ ἀντισπᾶσαι. ἢν δὲ μή, ὁ χυλὸς τῶν σιτανίων πυρῶν, παχύς. ψυχρός. καὶ τὸ φάκιον ἔθνος. καὶ ἄρτοι ἐγκρυφίαι. καὶ ἰχθύες. πυρέσσοντι μὲν ἑφθοί, ἀπυρέτῳ δὲ ἐόντι, ὀπτοί. καὶ οἶνος μέλας ἀπυρέτῳ.

potionē maximè minuere, ita plurimum exercitari cōuenit. Carnes uerò suillas easq́; crassas ex aceto coctas edere ut arduas inambulationes tolerare ualeat. Qui uentrem inferiorem calidū habent, atq; excrementa acria & inequalia deijciunt, ij ob eliquationē sic afficiūtur: q, si ualeant uires, albo ueratro diuertenda sunt: sin minus, frumētacei, tritici cremor crassus, frigidusq́; & lēticula, & faba & panes subcinericij, & pisces exhibendi sunt, febricitāti quidem elixi: non febricitāti uerò aßi: atq; huic uinum,

©BIU Santé



ἀπυρέτῳ. ἢν δὲ μὴ, ὕδωρ ἀπὸ μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων. ἢ φοινικοβαλάνων. ἢ οἰνάνθης ἀμπελικῆς. ἢν δὲ πυρετὸς μὴ ἔχοι, καὶ στρόφοι ἔωσι, γάλα βόειον θερμὸν ὀλίγον τὸ πρῶτον, ἔπειτα ἐκ προσαγωγῆς πλεῖον. καὶ λίνου σπέρμα. καὶ πύρινα ἄλφιτα. καὶ τῶν αἰγυπτίων κυάμων ἐξελόντα τὰ πικρὰ, καταλέσας καὶ ἐπιπάσσων, πινέτω. καὶ ὠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτὰ, καὶ σεμίδαλιν. καὶ κέγχρον, καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν. καὶ τὰ τούτοισιν ὅμοια

nigrum, illi uerò aquam aut à Mespilis, aut Myrtis, aut malis, aut Sorbis, aut Palmulis, aut Labruscæ flore dare oportet. Si uerò non febricitãtem tormina cruciant, in primis quidem paulum lactis bubuli calidi dandum est, deinde augenda eius quantitas est. Item lini semen & triticea polẽta. Aegyptia quoque faba decorticata, madidaq́; amara parte abiecta, potui detur. Edat uerò oua assa semiconcreta, similam, milium, chondrum ex lacte coctum. Hæc, facta prius decoctione refrigerentur, ac sic deinde comedantur. Quòd si aliæ quædam uel escæ uel

©BIU Santé


καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. τῆς διαιτητικῆς δὲ μέγιστον παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσι ἀῤῥωστήμασι, καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν. καὶ ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν, εἰδέναι. ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος. εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς, ἐκ γυμνασίων. ἢ δρόμων. ἢ πορειῶν. ἢ κυνηγετίων. ἢ ἄλλου τινὸς πόνου ἀκαίρου, ἢ ἐξ ἀφροδισίων. τοὺς

uel potiones ijs similentur, ipsæ quoque exhibeantur. Id uerò maximè ptinet ad uictus rationem, ut obserues caueasq́;, tũ in acutis tum diuturnis ægritudinib. accessiones, inclinationesq́; febriũ, ut quo tempore cibus exhibẽdus sit deprehendas: itẽ quãdo plurimũ ab impetus uehementia abesse uidentur. Ac cõsyderare quoque oportet capitis dolores, aut ab exercitatione, aut cursu, aut itinere, aut uenatu, aut aliqua quadã intempestiua ambulatione, aut uenere prouoca-

©BIU Santé


ἀχρόους. τοὺς βραγχαλέους. τοὺς σπληνώδεας, τοὺς λειφαίμους. τοὺς πνευματώδεας, τοὺς ξηρὰ βήσσοντας. καὶ διψώδεας. τοὺς φυσώδεας. φλεβῶν ἀπολήψιας ἐντεταμένους ὑποχόνδρια καὶ πλευρά. καὶ μετάφρενον. τοὺς ἀπονεναρκωμένους. καὶ ἀμαυρὰ βλέποντας. καὶ οἷσιν ἦχοι τῶν ὤτων ἐμπίπτουσι. καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους. τοὺς ἰκτεριώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι. καὶ αἱμοῤῥαγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς. ἢ ἐν ἐμφυσήμασιν ἐόντας ἢν πόνος αὐτοῖσιν

prouenientes: item decoloratos, raucos, splenicos, exangues, suspiriosos, sicca tußi laborantes, sitientes, flatuosos, uenarum clausuras, intēta præcordia, dorsum & latera, itē torpētes, obscurè uidentes, auriū tinnitu uexatos, urinam non continentes, regio morbo affectos, cruda per aluū deijciētes, sanguinē è naribus, aut sede profundētes, & inflatos, et quos fatigatio uehemen-

©BIU Santé


τοῖσιν ἐπιτρέχῃ σφο-
δρός, καὶ μὴ ἐπικρα-
τέωσι. τῶν τοιῶνδε μηδέ-
να φαρμακεύειν. κιν-
δυνόντε γὰρ ἔξω καὶ
οὐδὲν ὀνήσεις. τάς τε
ἀπὸ ταυτομάτου ἀ-
παλλάξιας καὶ κρί-
σιας ἀφαιρήσεις. ἢν
δὲ αἷμα τινὶ ξυμφέρει
ἀφαιρέειν, στερεὴν πρό-
τερον ποιέειν τὴν κοι-
λίην, καὶ οὕτως ἀφαι-
ρέειν καὶ λιμοκτονέειν,
καὶ οἶνον ἀφαιρέειν αὐ-
τέων. ἔπειτα τῇ διαί-
τῃ τῇ προσηκούσῃ, τὰ
ἐπίλοιπα αὐτέων, καὶ
πυρίῃσιν ἐνίκμοισιν θε-
ράπευε. ἢν δέ σοι κα-
τάπυκνος ἡ κοιλίη δο-
κέῃ εἶναι, μαλθακῷ
κλύσματι ὑπόκλυζε.
ἢν δὲ

uehemẽter infestat. Eos
itaq; si dictas affectiões
uincere nequeũt, haud-
quaq̃ medicamẽto pur-
gabis: nã et periculo æ-
grũ expones, et nihil iu
ueris, & spõtaneas etiã
iudicationes, liberatio-
nesq; impedies. Si san-
guinis detractio cuipiã
conducere uideatur, al-
uus in primis astringen
da est, postea uerò san-
guis mittendus est: fa-
mem quoque instituere
& uinum auferre opor
tet: deinde decenti ui-
ctus ratione, & fomẽtis
& perfusionib. reliquã
curationẽ perfice. Si ue-
rò astricta fuerit aluus,
mollẽ adhibe clysterẽ.
Quòd

©BIU Santé



ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως, ἄνω καθαιρε. κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. κράτιστα δὲ ἐς οὔρησιν, καὶ ἐς ἱδρῶτας, καὶ ἐς περιπάτους ἄγειν. καὶ τρίχειν ἡσύχῳ χερὶ, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν. κἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λύπῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις. καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅτε δυνατοί εἰσι. καὶ καθίζοντα ἀνατρίβειν μὲν πολὺν χρόνον, πολλῷ θερμῷ. ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἰσχῇ

τὰ

Quòd si medicamẽtò opus esse animaduerteris, exhibito Veratro, per superiores partes tuto expurga, sed per inferiores horum neminem. Ac mirificè prodest, urinam ciere, sudores excitare, inambulare, leniter perfricare, ne uidelicet habitum reddas densiorem, id quod alij, ipso prono in cubili iacente, facere debent. Si supra septum transuersum pectus afficiatur æger, ut magna ex parte sedere, ita nequaquàm decũbere debet, ut, quoad uires permiserint, sedens calido fomento perfricetur. At imũ uentrem sub septo

. . . transuerso.

©BIU Santé



τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει, καὶ μηδεμίην κίνησιν κινέεσθαι· τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τοῦ ἀνατρίψιος, τὰ δὲ ἐκ τῆς κάτω κοιλίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῃ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ σμικρά. Τὰ σφόδρα δὲ πονηρόν. οἱ τοιοῦτοι γὰρ ἢ ἀπόλλυνται, ἢ ἄνευ ἄλλων κακῶν, οὐ γίνονται ὑγιέες, ἀλλ' ἀποστηρίζει τὰ τοιουτότροπα.

Πόμα ὑδρωπιῶντι. κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης, καὶ πόδας καὶ πτερὰ, τρίψας, ἐν τρισὶ κυάθοις ὕδατος

transuerso, infestāte dolore infirmus neque moueatur, neque fricetur, ſed quietus iacere debet. Quæ ab imo uentre per urinas, ſudoréſque ſoluuntur, ſi per ſe modicè labuntur: debiles quidem affectus diſcutiūt, uehementes autem nō tam facilè: quippe qui ita laborant, aut pereunt, aut ſine malis aliįs ſanari nō poſſunt: nam confirmari ſolent eiuſmodi affectus.

Ad aquā inter cutē: Cantharides tres, abiectis pedibus, & capite, teruntur in aquæ cyatis tribus,

©BIU Santé



τοῦ τὰ σώματα, ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω. ὑπαλειψάμενος δὲ πρότερον, νῆστις πινέτω, ἐσθιέτω ἄρτους θερμοὺς ἐξ ἀλείφατος.

Ἴσχαιμον. ὀπὸν συκῆς ἐν ἐρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα, ἢ πιτύην στρέψαντα ἐμβῆσαι ἐς τὸν μυκτῆρα. ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπισπασάμενος, πίεσον. καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν. καὶ τὴν κοιλίην λῦσον, ὄνου γάλακτι ἑφθῷ. καὶ τὴν κεφαλὴν ξυρῶν, ψυκτικὰ πρόσφερε, ἢν ἐν ὥρῃ θερμῇ γένηται. σησαμοειδὲς ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς.

tribus, atq; ieiuno potui dantur. Quòd si dolor potantem affecerit, calido fomēto perfudatur: deinde unctus panē edat ex oleo.

Sanguinē supprimentia. Fici succum lana susceptū, intus ad uenam adhibe: aut inuoluto coagulo nares obstrue, aut chalcitim adhibens, digito cōprime, extrinsecus cōpreßis utrinq; cartilaginibus, aut uentrem cocto asinino lacte solue. Item deraso capiti refrigerantia impone, si uidelicet calido id tempore contingat. Sesamoides sesquidrachmæ pondere.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 432 sur 669

©BIU Santé



μῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον. ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι. καὶ ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος.

pondere tritum, ex aceto mulso potui datum, per superiores partes expurgat. Admiscetur quoq; ueratris: ut tertiã faciat potionis partem, atq; sic minus suffocat.

## AD TRICHΩSIN.

Τριχώσιος ὑποθεὶς τὸ ῥάμμα, τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τοῦ ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας, διὲς καὶ ἄλλο ὑποκάτω τούτου. ἀνατείνας δὲ τὰ ῥάμματα, ῥάψον καὶ κατάδησον, ἕως ἂν ὑποπέσῃ. κἢν μὲν ἱκανῶς ἔχῃ, ἢν δὲ μὴ, ἐλλείπῃ ὀπίσω ποιεῖν τὰ αὐτά. καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν

Acui foramen habenti filum subijce, & superiorem tensæ palpebræ partem traijciens usq; ad inferiorem, quod superius est inferiori adliga: tum fila extendens cõsue & colliga, donec decidat. Et si quidem satis fuerit, bene habet: sin aliquid deficit, eadẽ reficito. Mariscas, quæ hæmorrhoides dicũtur,

©BIU Santé



τὸν τρόπον διώσεις. τῇ βελόνῃ ὡς παχύτατον ἐρίου οἰσυπηροῦ ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας, ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ, χρέο. καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ, καὶ αἰεὶ μίαν καταλίμπανε, καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω καὶ ἱδρούτω. γυμνασίων δὲ τρίψις πουλλὴ ἀπὸ ὄρθρου. δρόμου δὲ ἀπεχέσθω καὶ μέθης. καὶ τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ διὰ ἑπτὰ ἡμερέων, ἢ τρὶς ἐν τῷ μηνί. οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιῤῥὸν

eodem modo persequeris. Acui crassissimũ & quàm maximũ lanæ succidæ filum adliga, tutior enim est huiusmodi curatio, deinde cõprime, & medicamẽto excedente utere: nec ante quàm decidat perfunde, atq; unam semper relinque: postea ueratro purgabis. Exinde exercitetur & sudet ab exercitatione, & mane admodum perfricetur: à cursu, temulentia, & acribus, præter Origanum abstineat. Septem diebus, uel ter in mense uomat. Sic enim corpus optime habebit. Vinum fuluum,

οἶνον αὐστηρόν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. Τοῖσι δὲ ἐμπύοισι, σκύλλης καταταμὼν κυκλίσκους, ἕψε ἐν ὕδατι, καὶ ἀποζέσας ὡς μάλα ἀπόχεον. ἔπειτα ἐπιχέας ἄλλο, ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ. εἶτα τρίψας λεῖον, σύμμισγε κύμινον πεφρυγμένον. ἔπειτα λευκὰ σήσαμα, καὶ ἀμύγδαλας νέας τρίψας ἐν μέλιτι, ἐκλεικτὸν δίδου. καὶ ἐπὶ τούτῳ, οἶνον γλυκύν. ῥοφήματα δὲ μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὑδατι διεὶς, σητανίου πλύματι ἀλεύρου ἑψήσας,

uum, austerũ, dilutum, paucum bibat. Suppuratis dissectos Scyllæ orbiculos in aqua excoque, cum uehemẽter ferbuerit effunde, aliãq; infunde et coque, donec percoctũ & molle tangenti appareat: deinde terito & Cymiuũ frictum admisce, Sesama candida, Amigdalasq; recentes terens ex melle eclegma facito, datoq;. Post hæc uinum dulce bibat, Papauerisq; albi triti acetabulũ aqua psusum, et cũ frumẽtacea farina melleq;

©BIU Santé



μελιεπιχίας, χλιερὸν ἀπορροφέων, οὕτω διαγέτω τὴν ἡμέρην, εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος, τὸ δεῖπνον δίδου.

Δυσεντερίης.

Κυάμων καθαρῶν, τεταρτημόριον. καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα συμμίξαντα καὶ ἑψήσαντα, λιπαρὰ διδόναι ἐκλείχειν.

Ὀφθαλμῶν.

Σποδὸς πεπλυμένη, λιπαρῶς πεφυρημένη, ὡς στέαρ μὴ ὑγρὸν λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ

melleq; coctum, ac tepidum sorbeat. Diemq; sic transigat. Deinde ad ea quæ contingunt attendens, cœnam dato.

AD TORMINA intestinorum.

Fabarũ purgatarum quadrantem acc pe, & duodecim Rubiæ surculos admisce diligenter excoque, & deligẽdum exhibe.

AD OCVLOS.

Cinerem lotum accurate maceratum simul adipem leuem non liquidam tere, uuæq; acerbæ succo humecta in sole, sic

U Santé


ἡλίῳ τε ἀναξηρήνας, ὑγραίνειν ὡς ἐνάλειπτον. ὁκόταν δὲ ξηρὸν γένηται, τρίψας λεῖον ξηρὸν, ὑπάλειφε τοὺς ὀφθαλμοὺς, καὶ παράπασσε τοὺς κανθούς.

*sic desicca, ut ungueti instar humidum sit, cum exiccatum fuerit, leui trito, & sicco oculos inunge, angulosq; corũ consperge.*

## Ὑγρῶν.

## AD HVMENTIA.

Ἐβένου δραχμήν. χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ᾽ ἀκόνης τρίβων. κρόκου τριώβολον. Ταῦτα τρίψας λεῖα, παράχεε οἴνου γλυκέος κοτύλην ἀττικήν. κἄπειτα ἐς τὸν ἥλιον θεὶς, κατακαλύψας ὁκόταν συνεψηθῇ, τούτῳ χρέο.

*Ebeni drachmam, aeris usti ad cotem triti obolos nouem, croci obolos treis. Hæc ubi triueris, uini dulcis heminam atticam infunde. Deinde soli expone, obtege, cum excoctum fuerit, eo utere.*

©BIU Santé



## Πρὸς τὰς περιωδυνίας.

Χαλκίτιδος δραχμή. σταφυλῆς, ὁκόταν δύο μέρεα λειφθῇ, ἐκπιέσας. σμύρναν, καὶ κρόκον τρίψας, συμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ, καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας. ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ.

## Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις.

Πίεσαι χερσὶ δακτύλοισι. κἢν αἰσθάνηται, τὰ ὑστερικά ἐστιν. ἢν δὲ μὴ σπασμώδεα.

## Τοῖσιν ὑδρωπιώδεσι.

Μηκώνιον λεκίσκιον ἀττικὸν στρογγύλον. Πόσις.

## AD DOLORES.

Chalcitidis drachmã, uuæ passæ expressæ partes duas, Myrrham Crocumq; tere, mulsum admisce, ad solem coquito, eoq; dolentes perunge, sit autem in uase æneo.

## QVONAM MOdo uuluæ strangulatio cognoscatur.

Digitis preme, & si quidem sentiat, ea est, si non, conuulsio est.

## AD HYDROPIcos potio.

Meconij, id est, succi papaueris in pilas adformati acetabulum atticum.

Potio.

BIU Santé


## Πόσις.

Λεπίδιον, μηλαὶ τρεῖς τὸ πλάτος. σὺν ἀλήτου σητανίου κολλήσαντα. ταῦτα λεῖα τρίψας καταπότια δίδου.

## Κάτω ὕδωρ καθαίρει. καὶ κοιλίην ἐκκοπρεῖ.

Ἐς ἰσχάδας, ὀποῦ τοῦ τιθυμάλλου ἀπόσταζε, ἑπτάκις ἐς ἑκάστην. εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, δίδου τὸ εἰρημένον πρῶτον σιτίων.

Καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων καὶ διηθέων, ἄλευρον φυρῶν, ἴτριον ὀπτῶν, μέλι παραχέων, τοῖσι ὑδρωπι-

## POTIO.

Squamæ melas tres latitudine cũ farina triticea tenuißima adglutina, leui, tere, catapotij inſtar conuolue, datoq́;.

## VT VENTER INtra purgetur, & à ſtercore mundetur.

In caricas ſingulas Tithymalli guttas ſeptem inſtilla, etiã ſi pueris detur, deinde in nouo uaſe compone, & reconde, ſicq́; affecto ante cibum dato.

Meconium item tere, aquam infunde & percola, farinã ſubige, itrium coque, mel coctũ infunde, edendumq́; hy-

 dropicis

©BIU Santé



ὑδρωπικοῖσι, τρώγειν δίδου καὶ ἐπιπίνειν οἶνον γλυκὺν, ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν ἐσπρήων μηκώνιον ξυλλέγων, ταμίευου καὶ θεράπευε.

τέλος.

dropicis exhibe: bibant uinũ dulce, aquosum uel aquam mulsam dilutã. Meconium ab excrementis collectum reconde & cura.

FINIS.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 440 sur 669

# ΓΑΛΗΝΟΥ ΤΕΧΝΗ ΙΑΤΡΙΚΗ.

# GALENI ARS MEDICINALIS, *Nicolao Leoniceno interprete.*

## CAPVT I.

Τρεῖς εἰσὶν αἱ πᾶσαι διδασκαλίαι τάξεως ἐχόμεναι. πρώτη μὲν ἡ ἐκ τῆς τοῦ τέλους ἐννοίας κατὰ ἀνάλυσιν γινομένη. δευτέρα δὲ, ἡ ἐκ συνθέσεως τῶν κατὰ τὴν ἀνάλυσιν εὑρεθέντων. τρίτη δὲ, ἡ ἐξ ὅρου διαλύσεως, ἣν νῦν ἐνιστάμεθα. καλεῖν δ' ἔξεστι τὴν τοιαύτην διδασκαλίαν, οὐ μόνον ὅρου διάλυσιν, ἀλλὰ καὶ

*Tres sunt oẽs doctrinæ q̃ ordini inhærent. Prima quidem ex notiõe finis, quæ per resolutionẽ fit. Secunda ex compositione cõstat eorũ, quæ ex resolutiõe fuerint inuenta. Tertia ex diffinitionis dissolutione, cui nunc incumbimus. Licet aũt huiuscemodi doctrinam appellare, nõ tantũ diffinitionis dissolutionẽ, sed &*



ECOL... ANTE ... ΙΠΠΟΚΡ...

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 441 sur 669

©BIU Santé



διάπτυξιν, ὥς τινες ὠνόμασαν, ἢ ἀνάλυσιν, ἢ διαίρεσιν, ἢ ὡς ἕτεροί τινες ἐξάπλωσιν, ἢ ἐξήγησιν ὡς ἄλλοι. ἐπεχείρησαν μὲν οὖν ἔνιοι τῶν Ἡροφιλείων τοιαύτην ποιήσασθαι διδασκαλίαν, ὡς καὶ Ἡρακλείδης ὁ ἐρυθραῖος. ἐπεχείρησαν δὲ καὶ τὴν κατὰ σύνθεσιν, αὐτοί τε οἱ Ἡροφίλειοι, καί τινες τῶν Ἐρασιστρατείων τε, καὶ Ἀθήναιος ὁ Ἀτταλεύς. οὐδεὶς μέντοι γε τῶν πρὸ ἡμῶν ἔγραψε τὴν ἐκ τῆς τοῦ τέλους ἐννοίας ἀρχομένην διδασκαλίαν, ἐξ ἧς αἱ τέχναι πᾶσαι συνίστανται κατὰ μέθοδον. ἀλλ' ἐκείνην μὲν ἑτέρωθεν

explicationem, ut nonnulli uocarunt. uel resolutiōem, uel diuisionem, uel, ut nonnulli alij, explanationem, uel expositionem, ut alij. Conati sunt & Herophiliorū quidā talem facere doctrinam, quemadmodū Heraclides Erythræus. Conati sunt et eam quæ per compositionem, & ipsi Herophilij, & quidem Erasistrati sectatores, & Athenæus Attaleus. Neminem tamen ante nos, eam quæ oritur à notione finis, scripsisse comperimus, ex qua omnes artes uia quadam atque ordine consti-

Santé



ἑτέρωθεν διήλθομεν, ἐνταῦθα δὲ τὴν ὁρικὴν ποιησόμεθα διδασκαλίαν. ὅσον γὰρ ἀπολείπεται τῆς κατὰ ἀνάλυσιν, ἀξιώματί τε καὶ μεθόδῳ, τοσοῦτον πλεονεκτοῦσαν εὑρήσομεν εἰς σύνοψίν τε τοῦ ὅλου, καὶ μνήμην τῶν κατὰ μέρος. εὐμνημόνευτα γὰρ ἱκανῶς ἐκ τῆς τοῦ ὅρου διαλύσεως ἅπαντα, διὰ τὸ περιέχειν ὅλης τῆς τέχνης ἐν ἑαυτῷ τὰ κεφάλαια τὸν ἄριστον ὅρον, ὅνπερ τινὲς καὶ οὐσιώδη ὀνομάζουσιν, ἀντιδιαιρούμενον τοῖς ἐννοηματικοῖς προσαγορευομένοις. ἐκεῖνοι μὲν γὰρ ἀπὸ τῶν συμβεβηκότων

οἷς

cōstituuntur: sed illam quidem alio pertractauimus loco. Hic uerò diffinitiuā faciemus doctrinam, quæ quantū ab ea quæ ex resolutiōe cōsistit, & dignitate, & ipso docendi ordine linquitur, tātum & ad totius compendiū, et ad singulorū memoriā præstare inuenietur. Sufficienter enim facilimè memoriæ commendantur ex diffinitionis dissolutiōe uniuersa. Quoniam totius artis capita in se optima diffinitio cōplectitur, quam quidam substantialem uocant, ex aduerso distinguentes alijs, quæ notionales appellātur. Illæ siquidē ab

Dd 5 his

©BIU Santé



οἷς ὁρίζονται πράγμασιν, ὅσοι δὲ ἀπὸ τῆς οὐσίας αὐτῆς συνίστανται. ἡ δὲ κατὰ μέρος ἐξεργασία συμπάσης τῆς ἰατρικῆς θεωρίας, ἐν πολλαῖς ἡμῖν ἑτέραις γέγραπται πραγματείαις, αἷς ἔξεστι χρῆσθαι πρὸς τὰς τρεῖς διδασκαλίας. ἀλλὰ νῦν γε τῆς ὁριστικῆς ὑπαρξόμεθα, τοσοῦτον ἔτι προσθέντες ὡς μόνα τὰ κεφάλαια, καὶ οἷον συμπεράσματα τῶν κατὰ διέξοδον ἀποδεδειγμένων εἰρήσεται νῦν.

his quæ accidũt reb. diffinitis, hæ uerò ab ipsa essentia cõstituũtur. Elaborata autẽ est à nobis particulatim, & in pluribus cõscripta tractatibus totius medicinæ cõtemplatio: quib. uti quis poßit ad triplicẽ doctrinam. Nũc uerò diffinitiuam aggrediemur, hoc unũ præfati, q̃ solũ capita, & quædã uelut conclusiones eorũ, quæ alibi latius sunt demõstrata, nũc à nobis dicẽtur.

## QVID EST MEDICINA. Caput II.

Ἰατρική ἐστιν ἐπιστήμη, ὑγιεινῶν καὶ νοσωδῶν, καὶ οὐδετέρων. οὐ διαφέρει δὲ

Medicina est sciẽtia, salubriũ, & insalubriũ, & neutrorũ: nihil uerò differt

© BIU Santé



ρει δὲ οὐδὲν εἰ καὶ νοσερῶν τις εἴποι. τοῦ μὲν οὖν τῆς ἐπιστήμης ὀνόματος κοινῶς τε καὶ οὐκ ἰδίως ἀκούειν χρή. τὸ δὲ ὑγιεινὸν καὶ τὸ νοσῶδες, καὶ τὸ οὐδέτερον, τριχῶς ἕκαστον λέγεται, τὸ μὲν ὡς σῶμα, τὸ δὲ ὡς αἴτιον, τὸ δὲ ὡς σημεῖον. καὶ γὰρ τὸ ὑποδεκτικὸν σῶμα τῆς ὑγιείας, καὶ τὸ ποιητικόν, καὶ φυλακτικὸν αὐτῆς αἴτιον, καὶ τὸ δηλωτικὸν σημεῖον, ἅπαντα ταῦτα καλοῦσιν οἱ ἕλληνες ὑγιεινά. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ νοσώδη, τά τε ὑποδεκτικὰ νόσων, σώματα καὶ τὰ ποιητικά τε καὶ φυλακτικὰ νόσων αἴτια, καὶ

differt & si quis ægrorum dixerit. Nomen uero scietiæ communius, non autē propriæ accipere oportet. Salubre autem, & insalubre, & neutrū, unumquodq; tripliciter dicitur: hoc quidem ut corpus, hoc autem ut causa, hoc uerò ut signum. Etenim corpus, quod sanitatem natura suscipere aptū est: & causam, quæ eandem efficere, uel conseruare: & signū qđ potest indicare: hæc oīa Græci salubria appellare cōsueuerūt. Eadē ratiōe & susceptiua morborum corpora, et eosdē efficiētes, cōseruātesq; causas, &

©BLU Santé



τὰ δηλωτικὰ σημεῖα. καὶ δὴ καὶ τὰ οὐδέτερα κατὰ τὸν αὐτὸν λόγον σώματά τε καὶ αἴτια, καὶ σημεῖα. καὶ δεῖ κατὰ τὸν πρῶτον μὲν λόγον, ἐπιστήμη τῶν ὑγιεινῶν αἰτίων ἰατρική. δι' ἐκεῖνα δ' ἤδη καὶ τῶν ἄλλων, δεύτερον τῶν μὲν νοσωδῶν, τρίτον δὲ τῶν οὐδετέρων. καὶ δὴ καὶ μετὰ ταῦτα τῶν σωμάτων, πρῶτον μὲν κἀνταῦθα τῶν ὑγιεινῶν, ἐφεξῆς δὲ τῶν νοσερῶν, εἶτα τῶν οὐδετέρων καὶ περὶ τῶν σημείων ἢ κατὰ τὸν αὐτὸν λόγον. ἐν μέντοι ταῖς πράξεσι, πρότερον μὲν τῶν σωμάτων ἡ διάγνωσις ἐκ τῶν σημείων

signa indicantia, insalubria uocant. Nec aliter corpora neutra, causas signáue dixerũt. Et secundum primã quidem rationem, atque præcipuam causarũ salubriũ est medicina sciẽtia, propter eas autem, & aliarum secundo quidem loco insalubriũ, & tertio neutrarum. Et post has eodem modo corporũ, primo quidẽ, & hic salubrium, secundo loco insalubrium, tertio neutrorum. Itidem de signis dicendum. In actionibus autem, prima quidem est corporũ cognitio

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 446 sur 669

σημείων δηλονότι, μετὰ ταῦτα δὲ ἡ τῶν ἐν αὐτοῖς αἰτίων εὕρεσις.

tio, quæ habetur ex signis, post hæc quæ in ipsis inuentio causarum.

## QVOT MODIS DICITVR EFFEctiuū, indicatiuū, & susceptiuū. Cap. III.

Ἀλλ' ἐπεὶ καὶ τὸ ποιητικόν, καὶ τὸ δηλωτικόν, καὶ τὸ ἐπιδεκτικόν, διχῶς ἕκαστον λέγεται, τὸ μὲν ἁπλῶς, τὸ δὲ ἐν τῷ νῦν. ἰστέον ἀμφοῖν οὖσα ἐπιστήμην τὴν ἰατρικήν. καὶ αὐτὸ δὲ τὸ ἁπλῶς διχῶς λέγεται τό, τε διὰ παντὸς, καὶ ὡς ἐπὶ τὸ πολύ, καὶ ἔστιν ἀμφοτέρων τούτων ἐπιστήμη ἡ ἰατρική. τὸ δὲ οὐδέτερον, αἴτιόν τε καὶ σημεῖον καὶ σῶμα. τό, τε ἁπλῶς λεγόμενον, καὶ

Sed quoniam & effectiuum, & indicatiuū, & susceptiuum dupliciter unumquodque dicitur, hoc quidem simpliciter, hoc uerò ut nunc, nosse oportet amborū esse medicinæ sciētiam. Ipsum uerò simpliciter duob. dicitur modis, & quòd semper & quòd plurimum: de quorum utroq; medicina pertractat. Neutra uerò et causa, & corpus, & signū, & quod simpliciter dicitur,

©BIU Santé



καὶ τὸ ἐν τῷ νῦν, τριχῶς
ἕκαστον λέγεται. τὸ μὲν
τῷ μηδ' ἑτέρου τῶν ἐναν
τίων μετέχειν. τὸ δὲ, τῷ
τῶν ἀμφοτέρων, τὸ δὲ,
τῷ ποτὲ μὲν τοῦδε, πο
τὲ δὲ τοῦδε. τούτων δ'
αὐτῶν τὸ δεύτερον, κα-
τὰ δύο τρόπους λέγε
ται. ποτὲ μὲν τῷ με-
τέχειν ἑκατέρου τῶν ἐναν
τίων ἐξ ἴσου, ποτὲ δὲ
τῷ πλέον θατέρου.
ἔστι δὲ καὶ καθ' ὅλου τοῦ
ὅρου κατὰ τὴν λέξιν ἀμ
φιβολία τις, ἣν καὶ αὐ
τὴν χρὴ διαλύεσθαι.
ἐν γὰρ τῷ λέγειν τὴν ἰα
τρικὴν ἐπιστήμην ὑπάρ
χειν ὑγιεινῶν, καὶ νοσε-
ρῶν, καὶ οὐδετέρων, ση
μαίνεται μὲν, καὶ πάν-
των

citur, & quod ut nunc,
tripliciter unumquodq;
appellatur: hoc quidem
quia neutrius cōtrario-
rum est particeps, hoc
uerò quia utriusq;, hoc
uerò quia aliquando hu
ius, aliquando illius. Ho
rum aūt ipsorum secun
dum, rursus duobus dici
tur modis, aut quia utrū
que cōtrariorū ex æquo
participat, aut quia ali-
quando plus alterum.
Est uerò & in tota dif-
nitione, si uerba ani-
maduertimus, ambigui-
tas quædā: quā et ipsam
dissoluere oportet. Cum
enim dicitur medicinā
esse scientiā et salubriū,
& insalubriū, & neu-
trorū, significatur & q
omnium

© BIU Santé



τῶν τῶν κατὰ μέρος, σημαίνεται δὲ καὶ τὸ ὁποίων, σημαίνεται δὲ καὶ τὸ τινῶν. ἀλλὰ τὸ μὲν πάντων, ἀπεριόριστόν τε καὶ ἀδύνατον, τὸ δὲ τινων, ἐλλιπές τε καὶ οὐ τεχνικῶν. τὸ δ' ὁποίων, τεχνικόν τε ἅμα καὶ διαρκὲς εἰς ἅπαντα τῆς τέχνης τὰ κατὰ μέρος, ὅπερ καὶ περιέχεσθαι φαμὲν ἐν τῷ τῆς ἰατρικῆς ὅρῳ. ἀρξώμεθα οὖν ἀπὸ τῶν σωμάτων πρῶτον, ὁποῖά τινα τά θ' ὑγιεινὰ, καὶ τὰ νοσώδη, καὶ τὰ οὐδέτερα τετύχηκεν ὄντα. μετὰ δὲ ταῦτα τὸν περὶ τῶν σημείων τε καὶ αἰτίων διεξέλθωμεν λόγον.

omnium particularum, & quòd quorũdam, & qualium. Sed omnium quidem infinitum quoddam est, atque impossibile, quorundam diminutum, atq; artificio carens: qualium uerò artificiosum pariter, atque sufficiens ad omnia artis particularia, quod etiam dicimus in medicinæ diffinitione cõprehendi. Primũ igitur de corporibus dicere aggrediemur, qualia nam sint, & salubria, & insalubria, & neutra post hæc de signis, & causis dissere mus.

De corpore salubri. Cap. IIII.

Ὑγιεινὸν ἐστιν ἁπλῶς σῶμα, τὸ ἐκ γενετῆς εὔκρατον μὲν ὑπάρχον, τοῖς ἁπλοῖς καὶ πρώτοις μορίοις. σύμμετρον δὲ τοῖς ἐκ τούτων συγκειμένοις ὀργάνοις. ὑγιεινὸν δὲ νῦν ἐστι σῶμα, τὸ κατὰ τὸ παρὸν ὑγιαῖνον ἐστι δὲ δηλονότι καὶ τοῦτο καθ' ὃν ὑγιαίνει χρόνον, εὔκρατόν τε καὶ σύμμετρον, οὐ τὴν ἀρίστην εὐκρασίαν τε καὶ συμμετρίαν, ἀλλὰ τὴν οἰκείαν. αὐτοῦ δὲ τοῦ ἁπλῶς ὑγιεινοῦ σώματος, διὰ παντὸς μὲν ἴδιόν ἐστι τὸ εὐκρατότατόν τε καὶ συμμετρότατον. ὡς τὸ πολὺ δὲ

Salubre simpliciter corpus est quod ab ipso naturæ ortu bonam habet temperaturã in simplicib. & primis particulis, atq; in his quæ ex illis cõponuntur instrumentis, est cõmoderatum. Salubre uerò nũc, est corpus quod in præsenti est sanum. Est uerò et hoc eo tẽpore quo sanũ existit, bonam habẽs temperaturam, & commoderationem, nõ tamen optimam, at sibi proprium. Ipsius uerò salubris simpliciter corporis, tale quidẽ est semper, id quod est optima temperantia præditum, ac maximè est commoderatum. Vt mutum

autem

BIU Santé



τὸ τῆς ἀρίστης κατασκευῆς ἀπολειπόμενον οὐ πολλῷ.

autem quod à constitutione optima non ualde admodum deficit.

## DE CORPORE INSALUBRI. Caput V.

Νοσῶδες δέ ἐστι ἁπλῶς σῶμα, τὸ ἐκ γενετῆς ἤτοι δύσκρατον τοῖς ὁμοιομερέσιν, ἢ ἀσύμμετρον τοῖς ὀργανικοῖς, ἢ ἀμφότερα. νοσῶδες δὲ νῦν ἐστι σῶμα τὸ νοσοῦν, ἐν τῷ λέγεται χρόνῳ τοιοῦτον ὑπάρχειν. εὔδηλον δὲ, ὡς καὶ τοῦτο καθ᾽ ὃν λέγεται χρόνον εἶναι νοσῶδες, ἤτοι δύσκρατόν ἐστιν ἐν τοῖς ὁμοιομερέσιν, ἢ ἀσύμμετρον ἐν τοῖς ὀργανικοῖς, ἢ ἀμφότερον. καὶ δὴ τὸ διὰ παντὸς νοσῶδες ἐστιν,

Insalubre uerò simpliciter est corpus qd' ab ipso ortu naturæ, uel in cõsimilibus partibus malã habet temperaturam, uel in instrumentarijs incõmode rationẽ, uel utrũq; uitiũ. Insalubre uerò nũc est corpus quod eo tẽpore, quod tale dicitur, ægrotat. Neq; obscurũ est, q & hoc ipsum, eo quo dicitur tẽpore ægrotãs, uel in consimilib. malã habet tẽperaturã, uel in instrumentarijs incõmoderationẽ, uel utrũq;. Est uerò &



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 451 sur 669

©BIU Santé



ἐστίν. ὅτιπερ ἂν ἐκ γενετῆς, ἢ τὴν δυσκρατωτάτην ὑπάρχον, ἐν ἁπλοῖς καὶ πρώτοις μορίοις ἅπασιν ἢ τισίν, ἢ τοῖς κυριωτάτοις, ἢ τοῖς ὀργανικοῖς ἀσυμμετρότατον, ὁμοίως καὶ ἐν τούτοις, ἢ πᾶσιν, ἢ τισίν, ἢ τοῖς κυριωτάτοις. ὡς τὸ πολὺ δὲ νοσῶδές ἐστι σῶμα, τὸ τῆς τοιαύτης κακίας ἀπολειπόμενον, οὔπω δὲ ἐν τῷ μέσῳ καθεστηκός.

*ſemper inſalubre, quod ex ipſo naturæ ortu uel peßimã habet temperaturam in ſimplicibus, et primis particulis omnibus, uel aliquib. uel his quæ obtinent principatum, uel in inſtrumentarijs, incõmoderatum exiſtit. Similiter autem in his, uel omnibus, uel aliquibus, uel illis quæ obtinent principatum. Vt multum uerò inſalubre eſt corpus, quod ab huius quidem uitio recedit, nondum tamen mediocritatem contingit.*

## DE CORPORE NEVTRO. CA. VI.

Ἐπεὶ δὲ καὶ τὸ οὐδέτερον σῶμα τριχῶς ἐλέγετο, τὸ μὲν μηδετέρας τῶν ἄκρων διαθέσεων μετέχειν, τὸ δὲ τῷ ἀμφοτέρων

*Quoniã uerò & neutrum corpus tripliciter dicebatur, unũ quidem quod neutrius erat extremæ diſpoſitionis particeps, aliud aũt quoniã*

ἀμφοτέρων, τὸ δὲ τῶν, ποτὲ μὲν τῆσδε, ποτὲ δὲ τῆσδε. κατὰ μὲν τὸ πρῶτον σημαινόμενον, οὐδέτερον ἔσται σῶμα, τὸ μέσον ἀκριβῶς ὑπάρχον, τοῦ τε ὑγιεινοτάτου σώματος, καὶ τοῦ νοσωδεστάτου· τούτου τὸ μὲν ἁπλῶς τοιοῦτον ἐστὶ, ὅτιπερ ἐκ γενετῆς τοιοῦτον κατεστήσατο. τὸ δὲ νῦν ὁτιοῦν, κατὰ τὸ παρὸν τὸ μέσον ὑπάρχει τοῦ τε ὑγιεινοτάτου, καὶ τοῦ νοσωδεστάτου, αὐτοῦ δὲ τοῦ ἁπλῶς. τὸ μὲν διὰ παντὸς τοιοῦτον, ὅτιπερ ἂν ἐν ἁπάσαις ταῖς ἡλικίαις διαμένῃ τοιοῦτον. τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ, τὸ καὶ μεταβολάς τινας λαμ-

utriusque, aliud quoniam aliquando huius aliquando uerò illius. Iuxta primũ significatum neutrũ erit corpus, qđ exquisite medium est, et saluberrimi, & insaluberrimi corporis: & huius hoc quidem simpliciter tale, quod ab ipso ortu naturæ ita est constitutũ, hoc uerò ut nunc, quod in præsenti tẽpore mediũ exquisite existit saluberrimi atq; insaluberrimi corporis. Ipsius autem simpliciter, semper quidem tale est id, quod in omnib' ætatibus tale perdurat. Vt multum autem quod nonnullas recipit muta

©BIU Santé



βάνον. κατὰ δὲ τὸ δεύτερον σημαινόμενον, οὐδέτερον ἐστὶ σῶμα τὸ δι' ἐναντίων ἅμα διαθέσεων μετέχον ἐκ γενετῆς, ἤτοι καθ' ἓν μόριον, ἢ κατὰ δύο διαφέροντα. καθ' ἓν μὲν, εἰ κατὰ τὴν ἑτέραν ἀντίθεσιν εὔκρατον εἴη τῶν δραστικῶν ποιοτήτων ἢ κατ' ἀμφοτέρας μὲν, ἀλλὰ περὶ τὴν διάπλασιν, ἢ τὸ μέγεθος, ἢ τὸν ἀριθμὸν τῶν μορίων, ἢ τὴν θέσιν ἐσφαλμένον, ἢ ἔμπαλιν ἐν τούτοις μὲν κατωρθωμένον ἅπασιν ἢ τισίν. ἐν δὲ τῇ κράσει διημαρτημένον, ἐν διαφέρουσι δὲ μορίοις, καὶ κατὰ πάσας τὰς ἀντιθέσεις δύναταί τι

tiones. Iuxta uerò secundum significatū neutrū erit corpus quod ab ipso ortu naturæ contrariū simul est, particeps dispositionū, aut scilicet in una parte, aut in duabus differētibus: in una quidem si secundū alteram oppositionē effectiuarum qualitatū bonam habuerit temperaturā, uel etiā secundū utrāq;, sed in formatione, uel magnitudine, uel numero partiū, uel situ delinquat, aut contrà in his quidem rectè se habeat, uel omnib. uel quibusdam, peccet autem in tēperatura: in differentibus uerò partibus, & iuxta omnes oppositiones potest quicquām si-

©BIU Santé


ται τῶν ἐναντίων ἅμα μετέχειν. καὶ διὰ παντὸς μὲν τοιοῦτον, τὸ κατὰ πάσας τὰς ἡλικίας μένον ὅμοιον, ὡς τὸ πολὺ δ' ὄν, τὸ καὶ μεταβάλλον κατά τι. οὕτως δὲ κἂν τῷ νῦν οὐδέτερον εἶναι σῶμα, κατὰ τὸ δεύτερον σημαινόμενον, ἢ τῷ παρὰ ἓν μόριον, τὰ μὲν ἔχειν ὑγιεινά, τὰ δὲ νοσερὰ τῶν ὑπαρχόντων αὐτῷ, ἢ τῷ παρὰ διαφέροντα μέρη. κατὰ δὲ τὸ τρίτον σημαινόμενον, οὐδέτερον εἶναι σῶμα, τὸ ποτὲ μὲν ὑγιεινόν, ποτὲ δὲ νοσερὸν ἐν μέρει γινόμενον, ὥσπερ ἐνίοις ὑπῆρξε. παισὶ μὲν οὖσιν, ὑγιεινοῖς γενέσθαι, νεανίσκοις δὲ

*mul particeps esse contrariorũ. Et semper quidem tale quod per omnes ætates in eodem habitu perseuerat. Vt multũ uerò quod aliqua ex parte euariat. Ita uerò & nunc neutrũ erit corpus iuxta secundũ significatũ, quia uel parte in una hæc quidẽ ipsi salubria existunt. Illa uerò insalubria, uel in differẽtibus ita afficitur partibus. Iuxta uerò tertiũ significatũ neutrũ erit corpus, quod aliquando quidem salubre existit, ut nonnullis accidit, qui in pueritià salubritate corporis uigent, quum uerò ad iuuẽtutem per-*

©BIU Santé



γενομένοις, νοσεροῖς, ἢ ἔμπαλιν. ἐν ἑνὶ δὲ χρόνῳ τὸ οὕτως οὐδέτερον, ἀκριβῶς μὲν οὐκ ἐγχωρεῖ συστῆναι, κατὰ πλάτος δ' ἐγχωρεῖ. ἴσμεν δὲ ὅτι τὸ νῦν διχῶς λέγεται. τὸ μὲν οὖν ὑγιεινόν, καὶ νοσῶδες καὶ οὐδέτερον σῶμα ποσαχῶς λέγεται, καὶ ὁποῖον ἕκαστόν ἐστιν αὐτῶν, ἱκανῶς διώρισται. περὶ δὲ τῶν σημείων ἐφεξῆς ἂν εἴη ζητέον.

uenerint, insalubres euadunt, aut contrà. In uno autē tempore quod ita est neutrū consistere nequit: latius uerò si accipiatur, contingit. Nouimus autem quòd nūc dupliciter dicitur. Salubre igitur, & insalubre, & neutrū corpus quot modis dicatur, & quale unumquodq; sit, sufficienter explicauimus. De signis uerò deinceps dicendum.

## DE SIGNIS SALVBRIBVS. Caput VII.

Ἔστι δὲ καὶ τούτων ὑγιεινὰ μέν, ὅσα τῆς τε παρούσης ὑγιείας ἐστὶ διαγνωστικά, καὶ τῆς μελλούσης ἔσεσθαι προγνωστικά, καὶ τῆς προγεγενημένης ἀναμνηστικά.

Sunt autem ex his salubria quidem quæcunque præsentem indicāt sanitatē, & futurā prænūciant, & præteritam

©BIU Santé



μνηστικά. νοσώδη δὲ ἤτοι τῆς παρούσης νόσου διαγνωστικά, καὶ τῆς προγεγενημένης ἀναμνηστικά, καὶ τῆς μελλούσης ἔσεσθαι προγνωστικά. κατὰ ταῦτα δὲ, καὶ τὰ οὐδέτερα, τάτε τῶν οὐδετέρων, διαθέσεων διαγνωστικά, καὶ προγνωστικά, καὶ ἀναμνηστικά, καὶ τὰ μηδὲν ὅλως δηλοῦντα περὶ διαθέσεων, ἢ τὰ μηδὲν μᾶλλον ὑγιεινὴν, ἢ νοσερὰν δηλοῦντα διάθεσιν. καὶ τὰ κατά τι μὲν ὑγιεινὴν, κατά τι δὲ νοσερὰν δηλοῦντα διάθεσιν, καὶ τὰ ποτὲ μὲν ὑγιεινὴν, ποτὲ δὲ νοσώδη. καὶ ταῦτα δὲ κατὰ τοὺς τρεῖς χρόνους ὁμοίως

memoriæ ſubijciũt: inſalubria uerò quæ et præſentem indicant ægritudinẽ, & futurã prænunciant, atq; præteritã memoriæ ſubijciũt. Eadem ratione neutra dicũtur, quæ neutrã diſpoſitionẽ oſtendũt, prænunciant, et memoriæ ſubijciũt, et quæ nihil omnino de diſpoſitionib. indicant, uel nihilomagis ſalubrẽ, q̃ inſalubrẽ diſpoſitionem oſtendũt, & partim quidẽ ſalubrẽ indicãt diſpoſitionẽ, & quæ aliquando quidẽ ſalubrem, aliquando uerò inſalubrẽ, & hæc quoque ſecundum tria tẽpora, ueluti ſalubria,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 457 sur 669

©BIU Santé



κοῖς ὑγιεινοῖς τε καὶ νοσώδεσι. καλεῖται δ' ἐνίοτε πρὸς τῶν παλαιῶν ἰατρῶν ἅπαντα ταῦτα τὰ σημεῖα προγνωστικὰ, κἂν τῶν ἐνεστώτων, ἢ προγεγονότων ᾖ δηλωτικά. καὶ ἡ χρεία μεγάλη μετὰ τῶν διαγνωστικῶν τε καὶ προγνωστικῶν, ἐλάττων δὲ τῶν ἀναμνηστικῶν. ὄντων οὖν σωμάτων ὑγιεινῶν, τῶν μὲν ἁπλῶς, τῶν δὲ ἐν τῷ νῦν, ἅπερ δὴ καὶ ὑγιαίνοντα λέγεται. τῶν ἁπλῶς ὑγιεινῶν σωμάτων, διττὴν ἔφαμεν εἶναι τὴν διαφοράν. τῷ τὰ μὲν διὰ παντὸς ὑπάρχειν τοιαῦτα, τὰ δὲ ὡς τὸ πολὺ, διὰ παντὸς μὲν ὅσα τὴν ἀρίστην ἔχει κατασκευήν.

salubria, & insalubria appellãtur. Vocãtur aũt nonnunq̃ à uetustiorib. medicis hæc oĩa signa prænũciatiua, quamuis præsentiũ, ac præteritorũ indicatiua sint. Vsus uerò nõ paruus ex prænunciatiuis, atq; indicatiuis: minor autẽ ex his quæ memoriæ subijciũt. Cum uerò sint salubria corpora, hæc quidẽ simpliciter, hæc uerò ut nũc quæ & bene ualentia dicuntur, salubrium simpliciter corporum duplicẽ diximus esse differentiam: quoniã nonnulla quidẽ semper, nõnulla uerò ut multũ essent talia, & semper quidẽ, quæ optimã constitutio

nem

©BIU Santé



σκευήν. ὡς τὸ πολὺ δέ, ὅσα μὴ πολλῷ ταύτης ἀπολείπεται.

nem sortita sunt, ut multum uerò, quæ non magnope ab illa recedunt.

## DE SIGNIS OPTIMAE CONSTITUTIONIS. Cap. VIII.

Τὰς διαγνώσεις δὲ αὐτῶν, ἀπό τε τῶν ὑπαρχόντων κατὰ τὸν τῆς οὐσίας αὐτῶν λόγον χρὴ ποιεῖσθαι, καὶ τῶν ἐξ ἀνάγκης τούτοις ἑπομένων ἐνεργειῶν τε καὶ συμπτωμάτων, ἃ δὴ καὶ συμβεβηκότα καλοῦμεν ἰδίως. ἀπὸ μὲν τῆς οὐσίας αὐτῆς, τῶν ἐν ἀρίστῃ κατασκευῇ, συμμετρία τῶν ὁμοιομερῶν, ἐν θερμότητι καὶ ψυχρότητι, καὶ ξηρότητι, καὶ ὑγρότητι. τῶν δ' ὀργανικῶν ἐν ποσότητι, καὶ πηλικότητι

Horũ autem dignotiones sumendæ sunt ab his, quæ secũdum essentiæ rationẽ ipsis insunt, & ab his quæ ex necessitate consequũtur, operationibus, casibusque, qui propriè accidentia uocantur. Ab essentia quidem ipsa corum quæ optimã habẽt cõstitutionem, cõmoderatione cõsimiliũ quidẽ, in caliditate, frigiditate, humiditate & siccitate. Instrumentaliũ uerò, in quãtitate, ac numero corum

©BIU Santé



τῶν συντιθέντων αὐτὰ, καὶ προσέτι διαπλάσεώς τε καὶ θέσεως τῶν μορίων ἑκάστου καὶ ὅλου τοῦ ὀργάνου. ἀπὸ δὲ τῶν ἐξ ἀνάγκης ἑπομένων τοῖς ὁμοιομερέσιν, ὡς μὲν πρὸς τὴν ἁφὴν, ἐν σκληρότητι καὶ μαλακότητι συμμετρία, πρὸς δὲ τὴν ὄψιν, εὐχροιά τε καὶ ἡ κατὰ λειότητα καὶ δασύτητα συμμετρία. κατὰ δὲ τὰς ἐνεργείας ἡ τελειότης, ἣν δὴ καὶ ἀρετὴν αὐτῶν ὀνομάζομεν. τῶν δὲ τοῖς ὀργανικοῖς ἑπομένων, ἐν συμμετρίᾳ τε καὶ κάλλει τοῦ τε παντὸς σώματος ὀργάνων, ἔτι τε τῶν ὑπαρχουσῶν αὐτοῖς ἐνεργειῶν ἀρετῇ. τοὺς μὲν

οὖν

ex quibus componũtur, ac præterea formatiõe, situ partium singularũ, ac totius instrumẽti. Ex his uerò quæ ex necessitate cõsequuntur cõsimilia, quantũ quidẽ attinet ad tactum à mediocritate, quæ in mollitie, ac duritie cõsistit. Quantum uerò ad aspectũ, à colore optimo, & leuitatis, atq; hispiditatis mediocritate. In operationib: à perfectione, quam & ipsorũ uirtutem appellamus. Ab his uerò quæ instrumentarias partes cõsequuntur, à commoderatione, & pulchritudine omnium totius corporis instrumentorum, ac præterea earũ quæ ipsis insunt uirtute operationum. Optima

©BIU Santé



τῆς ἀρίστης κατασκευῆς
τοῦ σώματος, τὰ δια-
γνωστικὰ σημεῖα ταῦ-
τα ἐστι. τῶν δ' ἀπολειπο-
μένων μὲν αὐτῆς, ὑγιει-
νῶν δ' ἔτι. τὰ μὲν ἐν
τῇ τῶν ὁμοιομερῶν, ἐ-
σφάλται κράσει μι-
κρόν τι σφάλμα. τὰ
δ' ἐν τῇ τῶν ὀργανικῶν,
μικρόν τι κἀνταῦθα,
καὶ ἤτοι πάντων, ἤ τι-
νων, ἢ καθ' ἑκάτερον.
τὰ δὲ γένη τῶν σφαλ-
μάτων. ταὐτὰ τοῖς
τὴν ἀρετὴν αὐτῶν συμ-
πληροῦσι, κρᾶσις μὲν
ἐν τοῖς ὁμοιομερέσιν,
ἀριθμὸς δὲ, καὶ διά-
πλασις, καὶ μέγεθος,
καὶ θέσις ἐν τοῖς ὀργα-
νικοῖς, ἀμφοῖν δὲ κοι-
νὸν ἡ ἕνωσις, ἣν διὰ
καὶ συνέχειαν αὐτῶν

igitur cõstitutionis cor-
porum signa indicatiua
sunt hæc. Eorũ aũt quæ
ab ipsa deficiũt, & ad-
huc tamen salubria exi-
stunt, nõnulla quidẽ in
cõsimiliũ tẽperatura ui-
tium aliquod paruũ ha-
bẽt, nõnulla uerò in in-
strumentariorum cõmo-
deratione, & hoc quoq;
perexiguũ. Accidit autẽ
hoc uel in omnibus, uel
in aliquib. aut in utrisq;.
Vitiorũ uerò genera ea-
dem sunt his quæ uirtu-
tem perficiũt. Tempera-
tura quidem in consimi-
libus. Numerus autem,
& formatio, et magni-
tudo, & situs, in instru-
mentarijs. Vtrisq; uerò
cõmunis unitas, quã &
ipsorum continuitatem

©BIU Santé



ὀνομάζομεν. ἐν δὲ τοῖς αὐτοῖς τούτοις γένεσι, καὶ ἡ τῶν νοσωδῶν σωμάτων ἐστὶ κακία, καθ' ἑκάτερον τοῦ νοσώδους τὸ σημαινόμενον. ὅρος δ' ἀμφοῖν ἐστὶ διακριτικός, ἡ τῆς ἐνεργείας αἰσθητὴ βλάβη. τὰ γὰρ τῆς ἀρίστης ἀπολειπόμενα κατασκευῆς σώματα βραχύ τι, βέβλαπται μὲν δήπου καὶ αὐτὰ κατά γε τὴν ἀλήθειαν, οὐ μὴν αἰσθητόν γε τοῦτο διορίζει. τοιγαροῦν αὐτὰ τὸ μᾶλλόν τε καὶ ἧττον, ἔν τε ταῖς ἐνεργείαις, ἔν τε τοῖς νοσώδεσιν αἰτίοις ἀπομάχεσθαι. τὰ δέ γε ἁπλῶς νοσώδη σώματα διώρισται, τῷ τε ῥᾳδίως ὑπὸ τῶν

appellamus. In his autẽ ipsis generibus sunt corporum insalubriũ uitia, secundum utrunq; insalubritatis modum. Terminus autẽ qui utrunq; distinguit, est operationis læsio sensibilis. Quæ uero ab optima corporum constitutione breue aliquid deficiunt, re uera quidẽ & ipsa in aliquo sunt offensa, non tamen id sensu cõprehẽditur. Distinguuntur uero ex eo, qđ magis, minusue in operatiõibus existit, ac quia in causis quæ ægritudinem pariũt, non æque resistũt. Quæ autẽ simpliciter insalubria sunt corpora, distinguũtur ob id, quòd facile à causis

©BIU Santé



νοσωδῶν αἰτίων νικᾶσθαι, καὶ τῷ πολύ τι κατὰ τὴν ἀρετὴν τῶν ἐνεργειῶν ἀπολείπεσθαι. γίνεται γοῦν ἀμφοῖν ἐν μέσῳ τὰ οὐδέτερά τε (καὶ) ἁπλῶς λεγόμενα, καὶ τὰ σύν τινι πλάτει, καὶ τμηθήσεται τὸ τῆς ὅλης ὑγιείας πλάτος εἰς τρία μόρια, πλάτος ἔχοντα καὶ αὐτὰ συχνόν. ὧν τὸ μὲν πρῶτον, ἔσται τῶν ὑγιαινόντων σωμάτων, τὸ δὲ δεύτερον, τῶν οὐδετέρων, τὸ δὲ τρίτον, τῶν νοσωδῶν. οἷς ἐφεξῆς ἐστι τὰ ἤδη νοσοῦντα σώματα βλάβαις αἰσθηταῖς ἐνεργειῶν ἀφωρισμένα. τὰ μὲν οὖν ὀδυνώδη τε καὶ ὧν αἱ κινήσεις πλημμελεῖς

causis quæ morbos committẽdi uim habẽt, superãtur, & quoniã in uigore operationũ plurimũ deficiunt. In medio autẽ amborũ collocantur ea quæ neutra simpliciter appellãtur, & cũ latitudine quadã. Quo fit ut tota sanitatis latitudo in tres partes, quarum singulæ latitudinẽ habent nõ paruam, diuidatur. Erit aũt prima quidem salubriũ corporũ, secũda neutrorũ, tertia insalubrium. Post quæ deinceps sequũtur quæ iã ægrotãt corpora, quæ sensibilibus operationũ læsionibus distinguuntur. Quæ igitur dolore infestãtur, & quorũ motus

©BIU Santé



μελεῖς εἰσιν, ἢ ὅλως ἀπολώλασιν, ἐναργεῖς ἔχει τοὺς ὅρους. ὅσα δ' ἀτόνους κέκτηται τὰς ἐνεργείας, ἐν μὲν ταῖς μεγίσταις ἀποστάσεσιν εὐδιάκριτα, κατὰ δὲ τὰς μικροτέρας ἀμφίβολον, καὶ διὰ τοῦτο κατὰ τὸ γένος ἐστὶ τῆς βλάβης, ἢ μηδετέρου. τῶν ἐναντίων ἐνεργειῶν μετέχουσα συνίσταται διάθεσις, ἣν καὶ αὐτὴν ἔφαμεν οὐδετέραν ὀνομάζεσθαι. πάντων τούτων αἰσθήσει διακρινομένων, οὐκ αὐτῇ τῶν πραγμάτων τῇ φύσει. κίνδυνος γὰρ εἰς τὸ τῆς ἀπαθείας ὑποσυρῆναι δόγμα

tus sunt uitiosi aut omnino interierūt, manifestas habent determinationes. Quæ uerò imbecilles edūt operationes, in magnis quidē distantijs facilè discernuntur, in paruis uerò ambigua sunt: atque idcirco in eo genere noxæ collocatur, quæ neutrius contrariorū participat dispositio, quam & ipsam neutra diximus appellari, ita tamen ut horum omniū sensus sit iudex, non ipsa natura rerum inspiciatur, ne periculū sit in dogma perpetuæ paßibilitatis incidere, & quidē signa sanorū corporum.

καὶ τοίνυν καὶ τὰ σημεῖα τῶν ὑγιαινόντων μὲν

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 464 sur 669

©BIU Santé



σωμάτων· ἀλλ' ἢ νοσωδῶν, ἢ οὐδετέρων ὑπαρχόντων, περὶ ποσῶν τῆς ἀποστάσεως διαφέρει, θεμένων ἡμῶν ἄκρους μὲν ὅρους ἐναντίους ἀλλήλοις, τήν τε ἀρίστην κατασκευήν, καὶ τὴν ἄρτι γενομένην νόσον. ἐπισκοπουμένων δὲ, ὁποτέρῳ τούτων ἐστὶν ἐγγυτέρω τὰ δοκιμαζόμενα σώματα. τὸ μὲν γὰρ ἐγγυτέρω τῆς ἀρίστης κατασκευῆς, ὑγιεινόν, τὸ δὲ ταύτης μὲν πορρωτέρω, τῆς δὲ ἤδη νοσοῦντος, ἐγγυτέρω νοσῶδες. τὸ δ' ἀμφοῖν μεταξὺ, καὶ ἴσον ἑκατέρων ἀπέχον φαινόμενον, οὐδέτερον ἐστι τούτων. τὸ μὲν

οὖν

corporum. Sed quæ insalubria, salubriaq́;, et neutra existunt quantitate distantiæ differēt duobus inuicem contrarijs terminis à nobis statutis, optima uidelicet cōstitutiōe corporis, et nuper facta ægritudine, ac deinceps consyderantibus utri eorum uiciniora sunt ea, quæ ad examen corpora ueniunt. Quæ enim proximiora sunt optimæ constitutioni, salubria: quæ uerò ab hac longius distant, atq; ad ea quæ iā ægrotant magis accedūt, insalubria, quæ autem intermedia, atque æqualiter ab utrisque distare uidētur, neutra. Optimæ

igitur

©BIU Santé



τὴν ἀρίστης κατασκευῆς τοῦ σώματος, εἴρηται τὰ γνωρίσματα. τῶν δ' ἀπολειπομένων αὐτῆς, ἰσάριθμα μὲν τὰ γένη, ἐν τῷ μᾶλλον τε καὶ ἧττον τέμνεσθαι δυναμένων. ἀφωρισμένων δὲ εἰς τρία μέρη, τὰ σημεῖα τοῦ νοσώδους σώματος ἁπλῶς ἐροῦμεν. ἐξ αὐτῶν γὰρ ἔσται δῆλα, καὶ τὰ λοιπὰ δύο πλάτη. κατὰ γένος μὲν οὖν εἴρηται πρόσθεν ἐν τῷ τῆς ἀρίστης κατασκευῆς λόγῳ, κατ' εἶδος δὲ, νῦν εἰρήσεται διελομένων ἡμῶν πρότερον τὰ μόρια.

igitur cõstitutionis corporis indicia explicauimus. Eorũ uerò quæ ab ipsa deficiũt, totidẽ sunt numero genera, quæ in magis, & minus secari possunt. Cũ autẽ in tres latitudines diuisa sint, corporis insalubris simpliciter indicia trademus: ex his enim & reliquæ duæ latitudines innotescent. Generaliter igitur prius à nobis in eo quẽ de optima constitutione sermonẽ habuimus, specialiter autem nũc dicetur, si prius partes diuiserimus.

## QVOT SVNT DIFFERENTIÆ PARTIUM. Cap. IX.

Τέσαρες δ' αὐτῶν εἰ-

σιν

Sunt uerò earũ quatuor

©BIU Santé


σιν αἱ πᾶσαι διαφοραί. τὰ μὲν γὰρ ἀρχαί τινες εἰσιν, τὰ δὲ ἀπ᾽ ἐκείνων ἐκπέφυκε. τὰ δὲ, οὔτ᾽ ἄλλων ἀρχὴ τῆς διοικήσεως, οὔθ᾽ ὑπ᾽ ἄλλων ἄρχεται, συμφύτους ἔχοντα τὰς διοικούσας αὐτὰ δυνάμεις. ἔνια δὲ συμφύτους τε ἅμα καὶ ἐπιῤῥύτους ἔχει. ἀρχαὶ μὲν οὖν εἰσιν ἐγκέφαλος, καρδία, ἧπαρ, καὶ ὄρχεις. ἀπ᾽ ἐκείνων δ᾽ ἐκπέφυκε, κἀκείνοις ὑπηρετεῖ, νεῦρα μὲν καὶ νωτιαῖος μυελὸς ἐγκεφάλῳ, τῇ καρδίᾳ δ᾽ ἀρτηρίαι, φλέβες δ᾽ ἥπατι, τὰ σπερματικὰ δ᾽ ἀγγεῖα τοῖς ὄρχεσιν.

αὐτὰ

tuor uniuersæ differentiæ: quoniã nonnullæ earum principia existũt, aliquæ uerò ab ipsis originem habẽt, aliquæ nec aliarũ gubernatiõi præsunt, neq; aliũde gubernantur, quũ insitas habeant à natura potentias, à quib. regũtur: quædã uerò sunt quæ insitas simul, & aliũde emanantes habẽt. Principia igitur sunt, cerebrum, cor, hepar, testiculi. Ab illis uerò ortum habent, atque eisdẽ subministrãt, nerui quidem, & spinalis medulla cerebro: cordi uerò arteriæ, hepati, uenæ: ipsa uerò seminaria uasa testiculis.

Ff Quæ

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 467 sur 669

©BIU Santé



αὐτὰ δ' αὐτὰ διοικεῖ χόνδρος, ὀστοῦν, σύνδεσμος, ὑμήν, ἀδήν, πιμελή, σὰρξ ἁπλῆ. τὰ δ' ἄλλα πάντα μόρια καὶ νῦν τούτοις ἔχοντα τὴν ἐξ ἑαυτοῦ διοίκησιν, ἀρτηριῶν τε καὶ φλεβῶν, καὶ νεύρων προσδεῖται. τριχῶν δὲ καὶ ὀνύχων, οὐδὲ διοίκησίς τίς ἐστιν, ἀλλὰ γένεσις μόνη. αὗται μὲν οὖν αἱ τῶν μορίων διαφοραί.

Quæ autē à ſeipſis gubernantur, ſunt, cartilago, os, copula ſeu ligamentum, membrana, adenes, adeps, caro ſimplex. Reliquæ uerò partes, cum unà cū iſtis habeāt ex ſeipſis regimē, arterijs, neruis, & uenis inſuper eguerunt. Capillorū autē, atq; unguium neq; regimen ullum eſt, ſed generatio tantummodo. Hæ igitur ſunt partiū differentiæ.

## DE SIGNIS CEREBRI. Caput X.

Σημεῖα δ' ἑκάστου τῆς κράσεως ἐφεξῆς εἰρήσεται, τὴν ἀρχὴν ἀπ' ἐγκεφάλου ποιησαμένων ἡμῶν. Ἔστι δὲ πέντε τὰ σύμφυτα γένη τῶν γνωρισμάτων αὐτοῦ.

Indicia aūt ſingularū temperaturæ ſumpto à cerebro initio, deinceps dicemus. Sūt uerò quinque inſita genera, quæ ipſius naturā oſtendūt.

Primum

©BIU Santé


ἓν μὲν ἡ τῆς συμπάσης κεφαλῆς διάθεσις, δεύτερον δὲ ἡ τῶν αἰσθητικῶν ἐνεργειῶν ἀρετή τε καὶ κακία, καὶ τρίτον ἡ τῶν πρακτικῶν, καὶ τέταρτον ἡ τῶν ἡγεμονικῶν, καὶ πέμπτον ἡ τῶν φυσικῶν. ἄλλο δὲ γένος παρὰ ταῦτα πᾶσιν, ἡ ἀπὸ τῶν ἔξωθεν αὐτῷ προσπιπτόντων ἀλλοίωσις. ἡ μὲν δὴ τῆς συμπάσης κεφαλῆς διάθεσις, ἐκ μεγέθους τε καὶ σχήματος αὐτῆς λαμβάνεται καὶ τριχῶν.

Primum quidem totius capitis dispositio. Secundum uerò sensibiliũ operationum uirtus, & uitium. Et tertium actiuarum. Quartum earum quæ tenent principatũ. Et quintun naturalium. Aliud uerò genus præter hæc omnia, ea quæ extrinsecus aduenit alteratio. Et quidem totius capitis dispositio ex magnitudine, & figura sumitur, atq; capillis.

## DE PARVITATE ET MAGNItudine capitis. Cap. XI.

Ἡ μὲν οὖν μικρὰ κεφαλὴ, μοχθηρᾶς ἐγκεφά-

Paruũ igitur caput uitiosæ cõstitutionis cere-

λου κατασκευῆς ἴδιον σημεῖον. ἡ μεγάλη δὲ οὐκ ἐξ ἀνάγκης ἀγαθῆς κατασκευῆς σημεῖον. ἀλλ' εἰ μὲν διὰ ῥώμην ἐγένετο τῆς ἐγχωρίου δυνάμεως, ὕλην χρηστήν τε καὶ πολλὴν δημιουργούσης, ἀγαθὸν σημεῖον. εἰ δὲ διὰ τὸ μόνης τῆς ὕλης τὸ πλῆθος, οὐκ ἀγαθόν. διοριστέον οὖν ἐστιν αὐτά, τῷ τε σχήματι, καὶ τοῖς ἀπ' αὐτοῦ πεφυκόσι. τῷ σχήματι μὲν, εἰ εὔρυθμος, ἀεὶ γὰρ ἀγαθὸν τοῦτο σημεῖον, τοῖς δ' ἀπ' αὐτοῦ πεφυκόσιν, εἰ καρτεραύχην τέ ἐστιν, καὶ τοῖς ἄλλοις ὀστοῖς ἄριστα διάκειται. καὶ εἰ τὸ νευρῶ-

δες

bri proprium est indicium. Magnũ uerò non necessario indicat bonã cerebri compositurã. Sed siquidem ob insitæ uirtutis robur, quæ multam, atq; optimã materiam afformauerit, cueniat, optimum est signũ: at si ob materiæ tantum multitudinem, haudquaquàm bonum. Distinguenda uerò sunt hæc, & ex figura ipsa, & ex his quæ ab eo habent ortum. A figura quidem ipsa, si cõcinna, semper enim hoc bonum est signum. Ex his autẽ quæ ab eo ortum habẽt, si ualida est ceruix, et si alijs oßibus optimè cõstet, atque omnis præterea ner-

uosa

©BIU Santé

ρώδης αὐτὸ σύμπαν, εὐτραφές τε δεῖ καὶ εὔτονον, οἰκεῖον δὲ σχῆμα κεφαλῆς, ὥσπερ ἂν εἰ νοήσαις σφαῖραν ἀκριβῆ κηρίνην, ἑκατέρωθεν ἀτρέμα περιλημμένην. ἀνάγκη γὰρ τῆς τοιαύτης, κυρτότερα μὲν ἢ κατὰ σφαῖραν γενέσθαι, τά τε ὄπισθεν καὶ τὰ ἔμπροσθεν, εὐθύτερα δὲ τὰ ἑκατέρωθεν. εἰ δ' ἡ κατ' ἰνίον ἐξοχὴ μειωθείη τινί, συνεπισκέπτου τὰ τε νεῦρα, καὶ τὸν αὐχένα σὺν τοῖς ἄλλοις ὀστοῖς. κατὰ φύσιν μὲν γὰρ ἐχόντων, ἐνδεία τῆς ὕλης, οὐ δυνάμεως ἀῤῥωσία τοιοῦτον ἐγένετο. φαυλοτέρων

uosa substantia boni sit habitus, ac robur habeat intentũ. Propria aũt capitis figura est, ueluti si excogitares sphærã exquisite rotundam, ex cæra constructã, paulatim utrinq; depressam. In hac enim necesse est, ut posteriores, prioresue partes plus gibbæ fiant, q̃ sphæræ cõueniat. Quæ uerò utrinq; cõsistũt, magis rectæ. Quòd si ea quæ secũdum occiput eminẽtia minuatur, simul intueri oportet neruos, atq; ceruicẽ unã cũ oßibus alijs. Nam si secundum naturam constiterint, materiæ defectu, nõ uirtutis imbecillitate cõtingit. Illis uerò



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 471 sur 669

©BIU Santé


τέρων δὲ ὑπαρχόντων,
ἀσθενὴς ἡ ἀρχή. τὰ πολ-
λὰ δὲ ταῖς κατ' ἰνίον
ἐνδείαις, ἀσθένεια τῶν εἰ-
ρημένων ἕπεται, καὶ
σπάνιον πάνυ τὸ μὴ
τοιοῦτον. καὶ τὴν φοξοτέ-
ραν δὲ κατ' ἰνίον τῶν-
σκέπτου κεφαλὴν, ὡ-
σαύτως τοῖς ἐφ' ὅλης
αὐτῆς μεγάλης γενομέ-
νης διορισμοῖς. ὡς τὰ πολ-
λὰ δὲ κἀνταῦθα σὺν
εὐρύθμῳ τῷ σχήματι
γενομένης τῆς παρεγκε-
φαλίδος, ἀγαθὸν ση-
μεῖον. ἣν ἔνιοι τῶν ἰα-
τρῶν ὀπίσθιον ἐγκέφα-
λον ὀνομάζουσιν. ὥσ-
περ οὖν καὶ ἔστι ὀπίσθιος,
ὁριζόμενος τῇ λαμ-
βδοειδεῖ ῥαφῇ, τοῦ
νωτιαίου

non rectè se habẽtibus, principiũ est debile, sed magna ex parte defe- ctus q occipiti eueniũt, cõsequitur eorũ quæ an tediximus imbecillitas, rarißimeq; aliter eueni re consueuit. Caput etiã quod secundum occiput in acutiẽ tẽdit, animad- uertere oportet, hisdem adhibitis distinguẽdi ra tionib. quibus antea in capite grandiori facto utebamur. Vt plurimũ uerò, & hic optimũ est signum figura concinna eius partis, quæ cere- bro adhæret, quã nõnul li medici posterius cere bri appellare consueue runt: quẽadmodũ & po sterius existit ea futura quæ Græcæ literæ Δ formam habet præfinitã. Est

©BIU Santé


νωτιαίου δέ ἐστιν ἀρχὴ
τὸ μόριον τοῦτο. καὶ διὰ
ἐκεῖνον, ἁπάντων τῶν
καθ' ὅλον τὸ ζῶον νεύ-
ρων πρακτικῶν. αὐτὸ
δὲ τὸ ὄπισθεν μέρος
καθ' αὐτὸ παντάπα
σιν ὀλίγων αἰσθητι-
κῶν μετέχει, παμπόλ
λων δὲ τῶν πρακτικῶν,
ὥσπερ γε καὶ θάτερον
τὸ πρόσθιον. αἰσθητι-
κῶν μὲν παμπόλλων,
ὀλίγων δὲ τῶν πρακτι
κῶν, ὥστε καὶ καλῶς
διακείμενα, ῥωμαλέ-
ας, ἕξει τὰς ἀποφύσεις
ἑκάτερον τὰς ἰδίας. οἱ
αὐτοὶ, δὲ κἀπὶ τῶν ἔμ
προσθεν τῆς κεφαλῆς
τῶν κατὰ τὸ μέτωπον
διορισμοὶ τοῖς ὄπι-
σθεν, ὡς σμικρότητά τε
καὶ

uerò huiusmodi pars spi
nalis medullæ principi
um, & eius ratione ner
uorum omniũ qui actio
nibus obseruiũt. Ipsa au
tem pars posterior per
seipsam paucos admo-
dum sensitiuos obtinet
neruos, plurimos uerò
actiuos: sicuti & ante-
rior, sensitiuos quidem
plurimos, paucos admo
dum actiuos. Quare ubi
benè fuerit affecta utra
que pars, robustas ha-
bebunt eas quæ ab ipsis
deriuationes. Eædem
quoq; distinctiones ad-
hibendæ sunt ad partes
capitis anteriores ad
frontem attinẽtes, quæ
etiã ad posteriores, ea-
rundẽq; & paruitatẽ,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 473 sur 669

©BIU Santé



καὶ μέγεθος αὐτοῦ βλεπόντων, καὶ σχῆμα, καὶ τὰς ἐνταῦθα αἰσθήσεις, ὄψιν τε καὶ γεῦσιν καὶ ὄσφρησιν. ἀλλήλων γὰρ ἐστὶν γνωρίσματα, καὶ ἀλλήλοις μαρτυρεῖ, τά τε ἀπὸ τῆς ἀρχῆς πεφυκότα, τῇ τῆς ἀρχῆς ἀρετῇ τε καὶ κακίᾳ, καὶ ἡ ἀρχὴ τοῖς ἀπ' αὐτῆς.

& magnitudinem inspicere oportet, atque itidem figuram, & sensus ibi collocatos, uisum, gustum atq; odoratũ. Hæc enim se inuicẽ indicant, atq; attestãtur, & quæ à principijs oriuntur, principij uirtutẽ, uel uitium, & principiũ eorũ quæ ab ipso nascuntur.

## DE OPERATIONIBVS OBTInentibus principatum. Cap. XII.

Ἡ μέντοι τῶν ἡγεμονικῶν ἐνεργειῶν ἀρετή τε καὶ κακία, τῆς ἀρχῆς μόνης ἐστὶν αὐτῆς καθ' ἑαυτὴν γνωρίσματα. καλῶ δὲ ἡγεμονικὰς ἐνεργείας, τὰς ὑπὸ τῆς ἀρχῆς μόνης γινομένας. ἀγχίνοια μὲν

Earũ autem operationũ quæ obtinẽt principatũ, uirtus, ac uitium sunt ipsius principij seorsum tãtummodo indicia. Voco autem operationes principatũ obtinẽtes, quæ à solo principio proueniunt. Ingeniũ quidem

©BIU Santé


μὲν οὖν λεπτομεροῦς οὐσίας ἐγκεφάλου γνώρισμα, βραδυτὴς δὲ διανοίας παχυμεροῦς. εὐμάθεια δ' εὐτυπώτου, καὶ μνήμη μονίμου. οὕτω δὲ καὶ ἡ μὲν δυσμάθεια δυστυπώτου. ἡ δ' ἐπιλησμοσύνη διαῤῥεούσης, καὶ τὸ μὲν εὐμετάβολον ἐν δόξαις, θερμῆς, τὸ δὲ μόνιμον ψυχρᾶς. ἔτι δέ μοι δοκῶ λείπεσθαι δύο γένη γνωρισμάτων, ὧν ἐξ ἀρχῆς ὑπεσχόμην ἐρεῖν. ἓν μὲν τὸ τῶν φυσικῶν ἐνεργειῶν, ἕτερον δὲ τὸ τῶν ἔξωθεν προσπιπτόντων. ἔσται δὲ κοινὸς ὑπὲρ ἀμφοῖν ὁ λόγος.

quidem igitur, ſubtilem cerebri: ſubſtantiã indicat: tarditas uerò intellectus craſſam: diſcendi uerò facilitas, formarũ facile ſuſceptiuã: memoria autẽ, ſtabilem ac firmam: ſicuti & diſcendi difficultas, formarũ nõ facilè ſuſceptiuã: & obliuio, fluidam. Mobilitas quoq; in opinionibus, calidam: ſtabilitas autem frigidam. Adhuc autem duo indiciorum genera mihi uideor prætermiſiſſe, de quibus ſum ab initio me dicturum pollicitus, quorum alterum ad operationes attinet naturales, alterum uerò ad ea quæ extrinſecus occurſant. Erit autem in utriſq; ſermo communis.

## SIGNA BONAE TEMPERATURAE CEREBRI. Cap. XIII.

Εἰ μὲν εὔκρατος ὁ ἐγκέφαλος ὑπάρχει κατὰ τὰς τέσσαρας ποιότητας, ἁπάντων τῶν εἰρημένων ἕξει μετρίως, καὶ τῶν περιττωμάτων, ὅσα διὰ ὑπερῴας ἢ ὤτων, ἢ μυκτήρων ἐκκαθαίρεται, καὶ τούτων ἕξει μετρίως, ἥκιστά τε βλαβήσεται πρὸς ἁπάντων τῶν ἔξωθεν προσπιπτόντων, ὅσα θερμαίνει ἢ ψύχει, ἢ ξηραίνει, καὶ ὑγραίνει. τοῖς τοιούτοις αἱ τρίχες τῆς κεφαλῆς, βρέφεσι μὲν οὖσιν ὑπόπυρροι, παισὶ δὲ ὑπόξανθοι, τελειουμένοις δὲ γίνονται ξανθαί,

*Siquidem cerebrum sortiatur bonã quatuor primarũ qualitatũ temperaturã, omnia quæ diximus habebit moderata, & excrementa quæ uel per palatum, uel aures, uel nares, uel oculos expurgantur, hæc quoque modicè se habebũt, atq; ab his quæ extrinsecus excursant minimè lædetur, quæ scilicet uel calefaciũt, uel frigefaciunt, uel humectant, uel exiccant. Talibus igitur capilli capitis: cũ adhuc sunt infantes subrussi, cum uerò pueri, subflaui, cum iam adoleuerint flaui fiunt,*

mediijq;

©BIU Santé



ξανθαί, μεταξύ πως οὖσαι τῶν τε ἀκριβῶς οὔλων καὶ ἁπλῶν, οὐ μὴν οὐδὲ φαλακροῦνται ῥᾳδίως. ἀκούειν δὲ χρὴ τῶν εἰρημένων τε καὶ ῥηθησομένων γνωρισμάτων, ὡς ἐπὶ εὐκράτων οἰκήσεων. ὅσα δὲ κατὰ τὰς τρίχας οὐκ ἐπὶ χωρίων μόνον, ἀλλὰ καὶ τῆς τῶν χυμῶν κράσεως ἀνάλογον ἐχούσης τῇ κράσει τῶν κατὰ τὸν ἐγκέφαλον. εἰ δὲ θερμότερος εἴη τοῦ συμμέτρου, κατὰ δὲ τὴν ἑτέραν ἀντίθεσιν εὔκρατος. εἰ μὲν ἐπὶ πλέον εἴη θερμότερος, ἰσχυρὰ πάντα τὰ ῥηθησόμενα γενήσεται γνωρίσματα, βραχείας

mediiq; sunt inter eos qui omnino sunt crispi, & simplices: nō tamen facilè caluitiū patiūtur. Quæ uerò dicuntur ac posterius dicenda indicia sunt, accipere oportet, ut in bonam habentibus temperiem habitationibus. Quæ autē ad capillos attinēt, non ad locorum tātum, sed ad humorum quoque temperaturam, qui cerebri temperaturæ proportione respondēt, sunt referēda. Si uerò calidius sit quàm oporteat, in altera uerò oppositione bonam habeat temperaturam, si quidem in caliditate excesserit, omnia quæ

©BIU Santé



βραχείας ἢ τῆς ὑπερβολῆς ὑπαρχούσης, ἀμυδρά. κοινὸς ἢ οὗτος ὁ λόγος ἐπὶ πάντων εἰρήσθω μοι τῶν μορίων, τῶν ἐν πάσαις ταῖς κράσεσι μελλόντων λέγεσθαι γνωρισμάτων.

quæ dicentur, ualidiora erunt indicia, sed si paruus fuerit excessus imbecillia. Cōmunis autē hæc ratio statuatur in omnibus partibus, quarū intemperaturis uniuersis indicia sumus tradituri.

## SIGNA CALIDI CEREBRI. Caput XIIII.

Ἑξῆς δ' οὖν σημεῖα τῆς ἐν ἐγκεφάλῳ θερμότητος ἐπὶ τοῖς ἔμπροσθεν εἰρημένοις, ἐρυθρότερα καὶ θερμότερα τὰ περὶ τὴν κεφαλὴν σύμπαντα, καὶ αἱ ἐν τοῖς ὀφθαλμοῖς φλέβες αἰσθηταί, αἱ τρίχες τούτοις. γεννηθεῖσι ταχέως ἐπὶ τῆς κεφαλῆς φύονται.

Deinceps igitur signa cerebri caliditatis, præter ea quæ nuper diximus, sunt, quòd ea quæ circa caput omnia rubicunda, & calida magis, & quæ in oculis uenæ sensui patēt. Capilli quoque, in his statim in lucē æditis habent in capite

©BIU Santé



ται. πολλῷ μὲν οὖσι θερμοτέροις τῶν εὐκράτων, μέλαιναι καὶ ἰσχυραὶ καὶ οὖλαι γίνονται. μὴ πολλῷ δὲ, ὑπόξανθοι μὲν τὸ πρῶτον, εἶτα μελαίνονται, προϊόντων δὲ ταῖς ἡλικίαις φαλακροῦνται, καὶ μᾶλλόν γε οἱ τῶν πλέον θερμοί. περιττώματα δὲ καθ' ὑπερῴαν καὶ μυκτῆρας, ὀφθαλμούς τε καὶ ὦτα, βραχέα καὶ πέπονα τούτοις ἐστὶν, περιπλησμένης δὲ τῆς κεφαλῆς ἐνίοτε, συνεχῶς καὶ μάλιστα αὐτοῖς ὅταν ἀφυλάκτως διαιτῶνται, τὸ τοιοῦτον συμβαίνει, πλείω μὲν ἀλλ' οὐκ ἄπεπτα τὰ περιττώ-

*ortum: & quũ plurimũ in caliditate à mediocri tẽperatura recesserint, nigri, & robusti, & crispi fiũt. Cũ uerò nõ multum, subflaui quidem ab initio fiũt, deinde nigricant, ac progredictibus ætatibus caluitiũ patiuntur, atque eo magis quã plus modico sunt calidiores. Excremẽta uerò quæ per palatum & nares, & oculos, et aures, pauca, & cõcocta ipsis existũt, quũ integrã habuerint sanitatẽ: cũ uerò eis caput repletur, cõtinuo enim ac tum præsertim, cũ nullam uictus seruauerint rationẽ, tale quid eis accidit, plura quidem in ipsis excrementa, atq; inconcocta generantur.*

©BIU Santé


ματα γίνεται. πληροῦνται δὲ καὶ βαρύνονται τὴν κεφαλὴν ὑπὸ θερμαινόντων ἐδεσμάτων τε καὶ πομάτων καὶ ὀσμῶν, καὶ τῶν ἔξωθεν προσπιπτόντων ἁπάντων, ἐν οἷς ἐστι καὶ περιέχων ἡμᾶς ἀήρ, ἔτι τε μᾶλλον, εἰ μὴ μόνον εἴη θερμὰ τὰ τοιαῦτα τὴν φύσιν, ἀλλὰ καὶ ὑγρά, βραχέσιν ὕπνοις αἱ τοιαῦται κράσεις ἀρκοῦνται, πρὸς τῷ μηδὲ βαθεῖς αὐτοὺς γίνεσθαι.

rantur, implenturq́: atque aggrauãtur eorum capita à calidis cibis, et potibus, odoribus, atq; hisce omnibus quæ extrinsecus occursant, in quorum numero est, & qui nobis circumfunditur aër, sed præterea magis, si non solum natura calida, sed etiã humida talia extiterint. Breuibus autem somnis huiusmodi temperaturæ contentæ sunt, neq; admodum profundis.

## SIGNA FRIGIDI CEREBRI. Caput XV.

Ψυχροτέρου δὲ ἢ προσῆκεν ἐγκεφάλου γνωρίσματα περιττώματα

πλείω

Frigidioris uerò, quã oportcat, cerebri indicia sunt, plura in pro-

prijs

©BIU Santé



πλείω κατὰ τὰς οἰκείας ἐκροὰς καὶ αἱ τρίχες εὐθεῖαί τε καὶ πυρσαὶ καὶ μόνιμοι, καὶ μετὰ πολὺν χρόνον τοῦ γεννηθῆναι φυόμεναι, λεπταὶ καὶ ἄτροφοι τὸ πρῶτον, καὶ ῥαδίως ὑπὸ τῶν ψυχρῶν αἰτίων βλάπτονται, καὶ κατὰ αὐτὸν τὸν χρόνον τῆς βλάβης κατάρροις τε καὶ κορύζαις ἁλίσκονται. οὐ μὴν οὐδ' ἁπτομένοις θερμὰ τὰ περὶ τὴν κεφαλὴν, οὐδ' ὁρῶσιν ἐρυθρὰ, καὶ τῶν ὀφθαλμῶν αἱ φλέβες ἀόρατοι, καὶ ὑπνωδέστεροί πως εἰσί.

Ξηροτέρου

prijs meatib. excrementa, & capilli recti, & ruffi, & stabiles, & qui longo post natiuitatem tempore nascuntur tenues, atque ab initio male nutriti, & facile à causis frigidis offendũtur, atque hoc ipso offensionis tempore distillationibus, & grauedinibus capiuntur, neque si tetigeris, partes ad caput attinentes admodum calide sentiuntur, neque si inspexeris, rubicundæ apparent, & oculorum uenæ omnino uisum effugiunt, & somnolenti quodammodo sunt.

SIGNA

©BIU Santé


## SIGNA SICCI CEREBRI. Caput XVI.

Ξηρότερου δ' ἐγκεφάλου γνωρίσματα, τὸ ἀπερίττον ἐν ταῖς ἐκροαῖς, καὶ τὸ τῶν αἰσθήσεων ἀκριβές. ἄγρυπνητικοὶ δ' εἰσί, καὶ τρίχας ἰσχυροτάτας καὶ τάχιστα φύουσι γεννηθέντες, οὔλας μᾶλλον ἢ εὐθείας, φαλακροῦνται δ' ἐν τάχει.

*Siccioris aũt cerebri indicia sunt paucæ superfluitates effluentes, & sensuum perspicacitas. Sunt autem ad uigilias prõpti, & capillos habent robustos, & qui celerrimè eis statim in nascũtur. Crispi autem potius sunt, quàm recti. Cito autem calui fiunt.*

## HVMIDI CEREBRI INdicia. Caput XVII.

Ὑγροτέρου δὲ τρίχες ἁπλαῖ, καὶ οὐδ' ὅλως φαλακροῦνται, καὶ αἱ αἰσθήσεις ἀχλυώδεις εἰσί, καὶ περιττωμάτων πλῆθος, ὕπνοι τε πολλοὶ καὶ βαθεῖς. αὗται μὲν αἱ ἁπλαῖ δυσκρασίαι.

*Humidioris uerò cerebri indicia, capilli plani, & nequaq̃ calui fiũt: sensus aũt turbulẽti, & excremẽtorum multitudo: somni multi, atque ꝓfundi. Et hæ quidẽ simplices sunt intẽperaturæ.*

SIGNA

©BIU Santé



## SIGNA CALIDI, ET SICCI cerebri. Cap. XVIII.

Ξύνθετοι δὲ, θερμὴ μὲν ἢ ξηρὰ πρώτη, καθ' ἣν ἀπερίττοιτέ εἰσι, καὶ ἀκριβεῖς ταῖς αἰσθήσεσι, καὶ ἀγρυπνητικώτατοι, καὶ φαλακροῦνται ταχέως. ἡ πρώτη μὲν τοι γένεσις τῶν τριχῶν ταχίστη τέ ἐστι καὶ εὐτραφεστάτη, μελανότριχές τε καὶ οὐλότριχές εἰσι, καὶ θερμοὶ ψαυόντων τῆς κεφαλῆς, ἐρυθροί τε μέχρι τῶν τῆς ἀκμῆς χρόνων.

*Cõpositæ autem, primum calida, & sicca, secundũ quam, & superfluitatibus carẽt, & sensibus uigẽt, & plurimũ uigilant, & cito calui fiunt, & prima quidẽ capillorum generatio celerrima est, ac plurimo abundans alimento. Capillos uerò habẽt nigros, & crispos, & tangentib. caput, calidi sentiũtur, & sunt rubicundi usque ad ætatem consistentiæ.*

## SIGNA CALIDI, ET HVMIdi cerebri. Cap. XIX.

Εἰ δ' ὑγρότης προσίη τῇ θερμότητι, βραχὺ μὲν ὑπερβαλλουσῶν ἀμφοτέρων

*Si uerò humiditas adiungatur caliditati, parũ utrisq; qualitatibus supe-*

©BIU Santé



ἀμφοτέρων τὸ σύμμε-
τρον, εὐχροιά τε καὶ θερ
μότης, ὡς αἱ ἐν τοῖς ὀφ
θαλμοῖς φλέβες μεγά
λαι, καὶ περιττώματα
πλείω, μετρίως πέ-
πονα, καὶ αἱ τρίχες εὐ
θεῖαι καὶ ὑπόξανθοι,
καὶ οὐ φαλακροῦνται
ῥᾳδίως. πληροῦνται
δὲ καὶ βαρύνονται τὴν
κεφαλὴν ὑπὸ τῶν θερ-
μαινόντων. εἰ δὲ καὶ
ὑγραίνοιντο πολὺ δή
που μᾶλλον, ἡνίκα καὶ
πλῆθος ἴσχουσι πε-
ριττωμάτων. ἐὰν δ'
ἐπὶ πλεῖστον ὑγρότη-
τός τε καὶ θερμότητος
ἥκωσι, νοσώδης, τού
τοις ἡ κεφαλὴ, καὶ πε
ριττωματικὴ, καὶ ῥα-
δίως



*superãtibus mediocrita
tem, color bonus, et quæ
circa oculos calidiora,
uenæ magnæ & plura
excrementa, & medio-
criter cocta, et capilli re
cti, subflaui, & non faci
lè calui fiunt. Implen-
tur uerò atq; aggrauan
tur eorum capita à cali
dis. At si humectentur,
protinus multo magis
excremẽtorũ habẽt mul
titudinẽ. Et si plurimũ
caliditas, atq; humiditas
creuerit, his caput est
ægritudinibus obnoxi-
um, atque excrementis
abundãs, & quod facilè
à calo-*

©BIU Santé



δίως ὑπὸ τῶν ὑγραι-
νόντων τε καὶ θερμαι-
νόντων βλαπτομένη.
νότος δ' αὐτῇ πολέ-
μιος ἀεί. ἄριστα δ' ἐν
τοῖς Βορείοις διάγου-
σιν, οὐ μὴν οὐδ' ἐγρη-
γορέναι δύνανται μέ-
χρι πλείονος, ὕπνῳ
τ' ἐπιτρέψαντες ἑαυ-
τοὺς, ἅμα τε κωμα-
τώδεις εἰσὶ καὶ ἄγρυ-
πνοι, καὶ φαντασιώ-
δεις τοῖς ὀνείρασιν, αἵ τε
αἱ ὄψεις ἀχλυώδεις,
καὶ αἱ αἰσθήσεις οὐκ ἀ-
κριβεῖς. εἰ δὲ πολλῷ μὲν ἐπὶ
τοῦ συμμέτρου θερ-
μότερος ὁ ἐγκέφα-
λος, ὀλίγῳ δ' ὑγρό-
τερος μηνύουσι τὰ τῆς
θερμῆς κράσεως γνωρίσματα. μιχθήσονται

à calefacientibus, atque
humectantibus offenda-
tur. Auster uerò semper
eis aduersatur, atq; opti-
me in Aquilõe se habẽt,
non tamen diu uigilare
possunt: & cũ se ad so-
mnum conuerterint, si-
mul graui somno tẽtan-
tur, & uigilant, & so-
mnia habent imagina-
tionibus plena; uisus eis
turbulenti, neque satis
sensibus uigent. Quòd
si plurimum in calidi-
tate cerebrum à medio-
critate recesserit, pau-
lulũ autem humidius ex-
titerit, calidæ tẽperatu-
ræ indicia præ se feret,
cum

©BIU Santé



δ' αὐτοῖς ἀμυδρῶς τὰ τῆς ὑγρότητος ὥσπερ καὶ εἰ πολλῷ μὲν ὑγρότερος, ὀλίγῳ δ' εἴη θερμότερος. ἐναργῆ μὲν ἔσται καὶ σφοδρὰ τὰ τῆς ὑγρότητος, ἀμυδρὰ δὲ, τὰ τῆς θερμότητος γνωρίσματα. κοινὸς δ' οὗτος ὁ λόγος ἐπὶ πασῶν ἐστι τῶν κατὰ συζυγίαν δυσκρασιῶν.

cum quibus leuia quedam humiditatis signa coniungentur; ueluti si lõgè quidem humidius, paululũ uerò calidius, uehementia quidẽ erũt, ac manifesta humiditatis indicia, debilia autẽ caliditatis. Cõmunis uerò hæc ratio in omnibus compositis intemperaturis existit.

## SIGNA FRIGIDI ET SICCI cerebri. Caput XX.

Αἱ ψυχραὶ δ' ἅμα καὶ ξηραὶ κράσεις ἐγκεφάλου, ψυχρὰν καὶ ἄχρουν ἀποτελοῦσι τὴν κεφαλὴν, ὅσον ἐφ' ἑαυταῖς. ἀεὶ γὰρ χρὴ μεμνῆσθαι τοῦ κατ' ἀρχὴν διορισμοῦ,

Frigidæ uerò, & siccæ cerebri intemperaturæ, frigidum & minimè coloratũ sui ratione caput reddũt. Sẽper enim memoria repetẽda quæ à nobis ab initio est distin-

BIU Santé



μεν, προσεπιλογιζόμενον, ὅσον ἐκ τῆς τῶν χυμῶν κράσεως ἀλλοιοῦνται τὰ κατ' αὐτόν. εὐθὺς δ' αἱ τοιαῦται κράσεις, ἄφλεβοί τε τὰ κατὰ τοὺς ὀφθαλμοὺς εἰσι, καὶ πρὸς τῶν ψυχρῶν αἰτίων ἑτοίμως βλάπτονται, διὸ καὶ ἀνωμάλως ὑγιαίνουσι, ποτὲ μὲν κουφότατοι τὰς κεφαλὰς, ἀπέριττοί τε τὰς ἐκροάς. ἐνίοτε δὲ κατάῤῥοις τε καὶ κορύζαις ἐπὶ σμικροῖς αἰτίοις ἑτοίμως ἁλισκόμενοι.

distinctio posita, ut præterea aduertamus quantum ex humorum temperatura alterētur, quæ circa ipsum consistunt. Protinus autem huiusce modi temperaturæ uenis carētes habent oculos, & à causis frigidis facilè læduntur. Quare & inæquali sanitate fruuntur, quoniam nonnunquam leuißima habent capita, & excrementorũ moderatos effulsus, nonnunquàm uerò, & grauedinibus, & distillationib. minima ex causa capiuntur.

## DE SENSIBVS. CAP. XXI.

Αἱ δὲ αἰσθήσεις αὐτῶν, ἐν νεότητι μὲν ἀκρι-

Sensus aũt eorũ in iuuentute quidem omnes

βεῖς τέ εἰσι, καὶ ἄμεμπτοι τὰ πάντα. προϊοῦσι δὲ, ἀπομαραίνονται ταχέως, καὶ συλλήβδην φάναι, ταχύγηροι τὰ περὶ τὴν κεφαλὴν ἅπαντές εἰσι. διὸ καὶ πολιοῦνται ταχέως. αἱ τρίχες δ' αὐτοῖς γεννηθεῖσι μὲν ἀνέρχονται, μόγις ἄτροφοι καὶ πυρραί. προϊόντι δὲ τοῦ χρόνου, κρατούσης μὲν ἐπὶ πλέον τῆς ψυχρότητος ἤπερ τῆς ξηρότητος, οὐ φαλακροῦνται. τοὔμπαλιν δὲ, εἰ συμβαίη τὴν ξηρότητα μὲν πλεῖστον κρατῆσαι τῆς ὑγρότητος, τὴν ψυχρότητα δὲ τῆς θερμότητος,

uigent, atque omni uitio carent, sed progrediente ætate cito marcescunt. Et ut summatim dicatur, omnes celerrimā circa caput senectutē ostendūt. Quare & cito cani fiunt. Capilli uerò ipsis quidē genitis uix exeunt, & male nutriuntur, & ruffi sunt: in progressu autē ætatis, superante magis frigiditate caliditatē, q̃ siccitate humiditatem, multum non caluescūt. Ecōtra uerò si cōtigerit siccitatem quidem plurimum dominari humiditati, frigiditatem uerò caliditati,

BIU Santé


ϛητος, ὀλίγον οἱ τοιοῦτοι φαλακροῦνται.

caliditati, parum calui fiunt hi.

## SIGNA CEREBRI FRIGIDI, & humidi. Cap. XXII.

Αἱ δ' ὑγραὶ καὶ ψυχραὶ κράσεις ἐγκεφάλου, κωματώδεις ἐργάζονται, καὶ ὑπνηλοὺς, καὶ φαύλους ταῖς αἰσθήσεσι, καὶ περιττωματικούς. εὐψύκτους τε καὶ εὐπληρώτους τὴν κεφαλὴν, εὐαλώτους τε κατάῤῥοις καὶ κορύζαις. οὐ μὴν οὐδὲ φαλακροῦνται οἱ τοιοῦτοι. ταῦτι μὲν οὖν δὴ τὰ σημεῖα τῶν ἐγκεφάλου κράσεων. ἐξ αὐτῶν δ' ὁρμώμενος ἐφ' ἕκαστον ὀργανον αἰσθήσεως, ἴδιι τὰς διαγνώσεις

Humidæ uerò, & frigidæ cerebri intẽperaturæ faciũt homines graui somno tentari, & ad somnum facilè conuerti, sensibus quoque minimè uigẽtes, atque excrementis redundantes: & qui caput frigiditati, ac repletioni habent obnoxiũ, ac distillationib. & grauedinibus facilè tentãtur, neq; tamẽ hi calui fiunt. Hæc igitur indicia sunt cerebri temperaturæ, à quibus si progrediaris ad unũquodque senso-

©BIU Santé



διαγνώσεις μεταφέρων.

## DE OCVLIS.

Ἀρκέσει δ᾽ ἐπ᾽ ὀφθαλμῶν μόνον εἰπεῖν· ὅσοι μὲν ἁπτομένοις ἐναργῶς εἰσι θερμοί, καὶ κινοῦνται ῥαδίως τε καὶ πολλάκις, καὶ φλέβας εὐρείας ἔχουσι, θερμοὶ σύμπαντές εἰσι. ψυχροὶ δὲ οἱ τούτοις ἐναντίοι, καὶ ὑγροὶ μὲν, οἱ μαλακοί τε ἅμα καὶ πλήρεις ὑγρότητος. ξηροὶ δὲ οἱ αὐχμηροί τε ἅμα καὶ σκληροί, καὶ βλάπτονται μὲν ὑπὸ τῶν ὁμοίων αἰτίων τῇ κράσει ῥαδίως. ὠφελοῦνται δὲ ὑπὸ τῶν ἐναντίων τῇ ἐμμέτρῳ χρήσει. ἀλλὰ τοῦτό γε κοινὸν ἐπὶ πάσῃ δια-

sensorium dignotiones transferre licebit.

## CAP. XXIII.

Sed sufficiet de oculis duntaxat facere mentionem. Quicunq; tangentibus quidem manifeste calidi existunt, & facile à crebro motu cientur, & uenas latas habent, hi calidi oẽs sunt. Frigidi uerò, his contrarij. Et humidi quidẽ molles simul, & multa humiditate pleni. Sicci uerò duri simul, & aridi. A similibus aũt suæ temperaturæ causis facilè offenduntur, iuuãtur autem à modico contrariorum usu. Sed hoc quidẽ cõmune in omni cuiusq

BIU Santé


σῃ διαγνώσει κράσεως ἅπαντος μορίου.

cunq; partis temperaturæ dignotione oportet meminisse.

## DE MAGNITVDINE OCVLORUM. Caput XXIIII.

Μέγεθος δ' ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ τε καὶ τῇ τῶν ἐνεργειῶν ἀρετῇ, πλῆθος οὐσίας εὐκράτου ἐξ ἧς διεπλάσθησαν ἐνδείκνυται. τὸ δ' ἄνευ τούτων, πολλὴν μὲν τὴν οὐσίαν, οὐκ εὔκρατον δὲ δηλοῖ.

Magnitudo oculorũ quidem ubi cõcinnitas, et operationum uirtus, multitudinem benè temperatæ ſubſtãtiæ oſtendit, ex qua ſunt conformati: quæ ſi deſint multam quidem ſubſtantiã, non tamen benè temperatam oſtendunt.

## DE PARVITATE OCVLORUM. Cap. XXV

Μικρότης δ' ὀφθαλμῶν ἅμα μὲν εὐρυθμίᾳ τε καὶ τῇ τῶν ἐνεργειῶν ἀρετῇ, ὀλίγην μὲν ἀλλ' εὔκρατον ἐνδείκνυται

Paruitas uerò oculorum, adiuncta quidẽ concinnitate, ac uirtutũ operatione paucam quidem, ſed benè temperatam ſubſtantiã oſtendit.

©BIU Santé


τὴν οὐσίαν ἑξῆς διεπλάσθησαν, ἅμα δ' ἀρρυθμίᾳ τινὶ καὶ κακίᾳ τῶν ἐνεργειῶν, ὀλίγην τε ἅμα καὶ φαύλην εἶναι σημαίνει τὴν οὐσίαν αὐτῶν..

ex qua sunt cōformati. Si uerò sociā habuerint inconcinnitatem quandam, atq; operationum uitium: tunc paucam simul ac uitiosam materiam ostendunt.

## DE COLORE CAP. XXVI.

Τὰ δὲ κατὰ χρόας, ὧδε χρὴ διορίζεσθαι, γλαυκοὶ μὲν ὀφθαλμοὶ λάμποντες ὑγρότητι καθαρᾷ τε καὶ οὐ πολλῇ, φωτὸς λαμπροῦ γίνονται περιουσίᾳ, μέλανες δ' ἔμπαλιν. οἱ δ' αὖ μεταξὺ, κατὰ τὰς ἀνὰ μέσον αἰτίας.

Quæ uerò ad colores attinent, ita distinguere oportet. Glauci quidem oculi, qui pura humiditate, ac nō multa præfulgent, tales fiūt ob splendidi luminis abūdantiā. Econtra uerò nigri, & qui intermediā naturā seruant, causas quoque intermedias habent.

## DE GLAVCEDINE ET NIGREDINE oculorum. Cap. XXVII.

Γλαυκὸς μὲν οὖν ὀφθαλμὸς ἤτοι διὰ μέγεθος,

Glaucus igitur oculus fit, uel propter magnitudinem,

θος, ἢ λαμπρότητα τοῦ κρυσταλλοειδοῦς, ἢ προπετῆ θέσιν, ἢ διὰ τὴν τοῦ λεπτοῦ καὶ ὑδατώδους ὑγροῦ τοῦ κατὰ τὴν κόρην ὀλιγότητά τε καὶ καθαρότητα γίνεται. πάντων μὲν ἅμα συνελθόντων, ὁ γλαυκότατος. εἰ δὲ τὰ μὲν αὐτῶν παρῇ, τὰ δὲ μὴ, τὸ μᾶλλόν τε καὶ ἧττον ἐν γλαυκότητι συνίσταται. μέλας δ' ὀφθαλμὸς, ἢ διὰ τὴν σμικρότητα τοῦ κρυσταλλοειδοῦς, ἢ διὰ τὸ ἐμβαθεῖ θέσει, ἢ ὅτι λαμπρόν τε καὶ αὐγοειδὲς, ἀκριβῶς οὐκ ἔστιν, ἢ ὅτι τὸ λεπτὸν ὑγρὸν, ἤτοι πλέον, ἢ οὐ

*tudinem, uel propter splēdorem humoris, qui à Græcis crystalloides nominatur: uel propter situm prominētem, aut propter tenuis et aquei humoris: qui in pupilla existit, paucitatē, & puritatem: atque omnibus quidē in unū cōuenientibus, fit glaucißimus oculus. Quòd si aliqua adsint, aliqua uerò nō, tūc maior, minor'ue glaucedo contrahitur. Niger uerò oculus fit, aut ob paruitatem crystalloidis, aut propter profundum situm, uel quoniam splendidus, ac fulgidus exquisite non est: uel quoniam tenuis humor, uel superabundat, uel*

©BIU Santé



ἢ οὐ καθαρόν ἐστιν, ἢ διά τινα θατέρων ἢ διὰ πάντα πέφυκε γίνεσθαι. τὸ μᾶλλον δὲ καὶ ἧττον ἐν αὐτοῖς, ὡς ἔμπροσθεν εἴρηται. τὸ μὲν οὖν λεπτὸν ὑγρόν, ὑδατωδέστερόν τε καὶ πλέον γενόμενον, ὑγρότερον ἀποφαίνει τὸν ὀφθαλμόν, ὥσπερ γε καὶ εἰ παχύτερον, ἢ ἔλαττον γένοιτο ξηρότερον. τὸ δὲ κρυσταλλοειδὲς εἰ μὲν σκληρότερον εἴη, ξηρότερον, εἰ δὲ μαλακώτερον, ὑγρότερον. οὕτως δὲ καὶ εἰ μὲν ὑπερβάλλει τῆς συμμετρίας τοῦ λεπτοῦ ξηρότερον, εἰ δ' ἀπολείποιτο, τοὐναντίον.

uel purus nõ existit, uel propter unam aliquam ex his, aut propter omnes fieri consueuit. In ipsis autẽ magis, & minus, ut antea diximus, reperitur. Tenuis igitur humor quo magis ad aquæ naturam accedit, & superabũdat, humidiorem oculum ostendit: queadmodũ si crassior, ac minor fiat, icciorem. Crystalloides autem, siquidẽ durior existat, sicciorẽ efficit oculum: si uerò mollior, humidiorem, sic & si plus modico tenuem humorem excesserit, sicciorẽ: si autem defecerit, contrarium.

DE

©BIU Santé


## DE CORDIS TEMPERAturis. Cap. XXVIII.

Περὶ δὲ τῶν τῆς καρδίας κράσεων ἑξῆς λεγέσθω. πρότερόν γε τοῦτο ἀναμνησάντων ἡμῶν, ὡς ἕκαστον μέρος ἤτοι θερμότερον ἢ ψυχρότερον, ἢ ξηρότερον ἢ ὑγρότερον ἑαυτοῦ γεγονέναι φαμὲν, οὐ πρός ἕτερόν τι παραβάλλοντες. ὅπως γὰρ ἂν ἡ καρδία γένηται τινὶ φύσει ψυχροτέρα, πολὺ θερμότερον τὴν κρᾶσιν ἐστὶν, ἐγκεφάλου τοῦ θερμοτάτου.

De cordis autem temperaturis deinceps dicēdum est. Si prius hæc in memoriam reuocauerimus, quòd unamquanque partē seipsa, uel calidiorē, uel frigidiorē, uel sicciorem, uel humidiorem dicimus factā, non alicui rei alteri cōparentes. Vtcunq; enim extiterit cor natura frigidius, multo sanè calidiorē temperaturā possidebit calidißimo cerebro.

## SIGNA CORDIS CALIDI. Caput XXIX.

Τῆς μὲν οὖν θερμοτέρας, ὡς πρὸς τὴν οἰκείαν

Calidioris igitur cordis, ut admodū q ei proprius

©BIU Santé


κείαν συμμετρίαν καρδίας σημεῖα. τὰ μὲν ἀχώριστά τε καὶ οἰκεῖα, μέγεθος ἀναπνοῆς, καὶ σφυγμοῦ τάχος, καὶ πυκνότης ἐστιν, εὐτολμία τε καὶ τὸ πρὸς τὰς πράξεις ἄοκνον. αἱ δὲ ἐπὶ πλεῖστον ἥκει θερμότητος, ὀξυθυμία τε μανιώδης καὶ θρασύτης. ἔστι δὲ καὶ λάσιος αὐτοῖς ὁ θώραξ, καὶ μάλιστα τὰ στέρνα, καὶ τῶν καθ' ὑποχόνδριον ὅσα τούτοις πλησίον, ὡς ἐπὶ τὸ πολὺ δὲ καὶ τὸ σύμπαν σῶμα, θερμὸν ἐπὶ θερμῆ τῆ καρδίᾳ γίνεται, πλὴν εἰ μὴ μεγάλως ἀντιπράττοι τὸ ἧπαρ, εἰρήσεται

prius est, atque conuenies, indicia quædã sunt inseparabilia, & propria, magnitudo respirationis, & pulsus uelocitas, & frequentia & audacia, & ad actiones natura prompta, quód si multum in caliditate excesserit, tunc furibunda quædam iracũdia, & temeritas adsunt. Est autem his thorax hispidus, & præsertim pectus, & quæcunque ilijs partes proximiores. Magna uerò ex parte calidi cordis temperatura, uniuersum corpus calidũ reddit, nisi hepar uehementius obstiterit. Dicemus

©BIU Santé



εἰρήσεται δ' ὀλίγον ὕστερον ἅπαντος τοῦ σώματος τὰ γνωρίσματα. καὶ μὲν τοι ἡ τοῦ θώρακος εὐρύτης, θερμότητος γνώρισμα. πλὴν εἰ μὴ κἀνταῦθα μεγάλως ὁ ἐγκέφαλος ἀντιπράξειεν. ἐπειδὴ τὸ μὲν τοῦ νωτιαίου μέγεθος, ἀνάλογόν ἐστιν ἐκείνῳ τὰ πολλά, καὶ τηλικοῦτοι μὲν οἱ σπόνδυλοι τὸ μέγεθος ἡλίκος ὁ νωτιαῖος, ὥστε καὶ ἡ ῥάχις ὅλη. συμπήγνυται δὲ ὁ θώραξ ἐπὶ τὸ κατὰ τὸ μετάφρενον αὐτῆς μέρος, καθάπερ ἐπὶ τῶν τρόπιν ναῦς, ὥστ' ἐξ ἀνάγκης ἔχει τὸ μῆκος ἴσον τῷ μεταφρένῳ.

*Dicemus autem paulò inferius totius corporis indicia. Est quidem & latitudo thoracis caliditatis indiciũ, nisi & hic quoque cerebrum plurimum obstiterit, quoniam ei magna spinalis medulla respondet: tantæ uerò erunt uertebræ, quanta & spinalis medulla, quare & spina uniuersa. Configitur uerò thorax ad eam spinæ partem quæ metaphrenon,*

©BIU Santé


φρένων, τὸ δ᾽ εὖρος. ὅταν μὲν ἀνάλογον τῷ πάχει τῶν σπονδύλων ἡ σύμπηξις αὐτοῦ γένηται κατ᾽ ἐκείνους. εἰ δ᾽ ἡ τῆς καρδίας θερμότης κρατήσασα, διαφυσήσῃ τε καὶ ἀνευρύνῃ κατὰ τὴν πρώτην γένεσιν, ἀνάλογον τῇ ταύτης θερμότητι. διὸ καὶ ὅταν μὲν ἐπὶ σμικρᾷ κεφαλῇ ὁ θώραξ εὐρὺς ᾖ, μέγιστον γίνεται γνώρισμα τῆς κατὰ τὴν καρδίαν θερμότητος. ὅταν δ᾽ ἐπὶ μεγάλῃ σμικρός, ἰδιαίτατον καὶ τοῦτο σημεῖον ἐστὶ καρδίας ψυχροτέρας. εἰ δ᾽ ἀνάλογον ἔχει

phrenon, id est, dorsum dicitur, tanq̃ ad carinã nauis: quare necessario eius longitudo æquabitur dorso, latitudo uerò erit pro uertebrarũ ratione, quãdo ad proportionẽ earũ craßitudinis fuerit constitutus: cũ uerò cordis caliditas superans perflauerit, ac dilatauerit, in primo sui ortu thoracẽ, erit eiusdem caliditati proportione respondens. Quare cũ caput paruũ, thorax autẽ latus extiterit, maximum hoc tibi fuerit cordis caliditatis indicium. Cũ uerò magno existente capite, paruus fuerit, proprijßimum hoc erit cordis frigidioris signum. Si uerò capiti fuerit pro-

portione

©BIU Santé



ἔχει τὴν κεφαλὴν τοῖς ἄλλοις σημείοις, διορίζει περὶ τῆς καρδίας, ὡς ἐκ θώρακός γε πηλικότητος οὐδὲν λαμβανόμενος.

portione respondẽs, tũc alijs signis de corde distingues, ex ipsius thoracis amplitudine nihil assumens.

## SIGNA CORDIS FRIGIDI. Caput XXX.

Ἐπὶ δὲ ψυχροτέρας καρδίας, σφυγμοὶ μικρότεροι τῶν συμμέτρων, οὐ μὴν βραδύτεροί γε ἐξ ἀνάγκης, ἢ ἀραιότεροι. ἡ ἀναπνοὴ δὲ, εἰ μὲν τοσοῦτον μικρότερος ὁ θώραξ, ὅσον ἡ καρδία ψυχροτέρα, τοῖς σφυγμοῖς ἀνάλογον. εἰ δὲ μείζων ἢ κατὰ τὸ ποσὸν τῆς ψύξεως, οὐ μικροτέρα μόνον, ἀλλὰ καὶ βραδυτέρα καὶ ἀραιοτέρα, δηλοῖ τὴν

In frigidiore uerò corde pulsus minores existunt, quàm modo naturæ cõueniat: nõ tamẽ necessario tardiores, uel rariores. Respiratio autem, siquidẽ tãto thorax minor extiterit, quanto cor frigidius, pulsib. erit proportionalis. Si uerò maior fuerit, quàm pro frigiditatis uehemẽtia: non minorem tantũ, sed etiã tardiorẽ, et rariorẽ naturã ostendit. Tales

Hh autem

©BIU Santé



τὴν φύσιν οἱ τοιοῦτοι, καὶ ἄτολμοι εἰσὶ καὶ ἀμελῆται, καὶ ψιλὸν αὐτοῖς τὸ στέρνον τριχῶν ἐστι. περὶ δὲ σμικρότητος αὐτῆς διοριστέον, ὡς ἔμπροσθεν εἴρηται. κατὰ ταῦτα δὲ καὶ περὶ τῆς ὅλου τοῦ σώματος θερμότητος.

autē timidi sunt, & sine audacia, & segnes, & nudum pilis habent pectus. De eius uerò paruitate distinguendum, ut diximus prius. Eodē modo et de totius corporis caliditate.

## SIGNA CORDIS SICCI. Caput XXXI.

Ἡ δὲ ξηροτέρα καρδία, τοὺς σφυγμοὺς ἐργάζεται σκληροτέρους, καὶ τὸν θυμὸν οὐχ ἕτοιμον μὲν, ἄγριον δὲ καὶ δύσπαυστον, ὡς τὰ πολλὰ δὲ καὶ ὅλον τὸ σῶμα ξηρότερον, εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττῃ.

Cor autē siccius pulsus efficit duriores, & iram non promptā quidem, sed feram, & quæ non facilè sedari queat: magnaq; ex parte uniuersum corpus siccius existit, nisi hepar obstiterit.

SIGNA

©BIU Santé



## SIGNA CORDIS HVMIDI. Caput XXXII.

Ὑγροτέρας δὲ καρδίας σημεῖα, σφυγμοὶ μαλακοί, καὶ ἦθος εὐκίνητον μὲν πρὸς ὀργήν, εὐκατάπαυστον δέ, καὶ τὸ σύμπαν σῶμα ὑγρότερον, πλὴν εἰ μὴ τὰ καθ' ἧπαρ ἀντιπράττειν. κατὰ δὲ συζυγίαν τῶν πρώτων ποιοτήτων, αἱ δυσκράσεις τῆς καρδίας ὧδε ἔχουσιν.

Cordis uerò humidioris signa, pulsus molles, & mores ad iram quidem procliues, sed talē, quæ facilè sedari poßit: et uniuersum corpus humidius existit, nisi hepar obstiterit. Secundum uerò coniugationē qualitatum primarū uitiosæ cordis temperaturæ ita se habent.

## SIGNA CORDIS CALIDI, ET ſicci. Cap. XXXIII.

Θερμῆς καὶ ξηρᾶς καρδίας οἱ σφυγμοὶ σκληροὶ καὶ μεγάλοι, καὶ ταχεῖς, καὶ πυκνοί, καὶ αἱ ἀναπνοαὶ μεγάλαι

Calidi, & ſicci cordis, pulſus duri ſunt, & magni, & ueloces, & frequētes, et reſpirationes



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 501 sur 669

©BIU Santé



γάλαι τε καὶ ταχεῖαι καὶ πυκναί, καὶ πολὺ δὴ μᾶλλον εἰς τάχος ἐπιδιδόασιν ἢ πυκνότητα, οὐ συναυξηθέντος, ἀνάλογον τῇ καρδίᾳ τοῦ θώρακος. πάντων οὗτοι λασιώτατοι τὰ κατὰ τὸ στέρνον εἰσὶ καὶ τὸ ὑποχόνδριον. εἰς δὲ τὰς πράξεις ἕτοιμοι, ἢ θυμικοί, καὶ ταχεῖς, καὶ τυραννικοὶ τοῖς ἤθεσι, καὶ γὰρ ὀξύθυμοι καὶ δύσπαυστοι. περὶ δὲ τῆς ἅπαντος τοῦ σώματος κράσεως, ἔτι τε τῆς τοῦ θώρακος εὐρυχωρίας, ἀνάλογον τοῖς ἔμπροσθεν εἰρημένοις διοριστέον.

Εἰ

magnæ, et ueloces, et frequētes, & multo magis ad uelocitatem, ac frequētiam uergunt, thorace cordi non aucto proportionaliter. Hi uerò præ cunctis pectus habent maximè hirsutum, & ilia. Ad actiones autē prompti sunt, & iracundi, & subiti, & mores tyrannicos habēt ad furorem faciles, nō facilè uerò placabiles. De totius autem corporis tēperatura, & thoracis amplitudine, his quæ antè diximus proportionaliter est distinguendum.

SIGNA

©BIU Santé



## SIGNA CORDIS CALIDI, & humidi. Cap. XXXIIII.

Εἰ δ' ὑγρότης ἐπικρατήσειεν ἅμα θερμότητι, λάσιοι μὲν ἧττον οἱ τοιοῦτοι τῶν προειρημένων, ἕτοιμοι δὲ εἰς τὰς πράξεις οὐδὲν ἧττον. οὐ μὴν ἄγριός γε ὁ θυμός, ἀλλ' εἰς ὀργὴν μόνον ἕτοιμοι, οἱ σφυγμοὶ δὲ μαλακοί τε καὶ μεγάλοι, καὶ ταχεῖς, καὶ πυκνοί. καὶ ἡ ἀναπνοὴ τοῦ μὲν θώρακος ἀνάλογον ἔχοντος τῇ καρδίᾳ, κατὰ τὴν αὐτὴν ἰδέαν τοῖς σφυγμοῖς. μικροτέρου δὲ γενομένου, τοσοῦτον θᾶττόν τε καὶ πυκνοτέρα τῶν προειρημένων, ὅσον καὶ

Si uerò caliditas unà cũ humiditate dominatur, minus quidem his quos anteà diximus, hi sunt hirsuti ad actiones uerò nihilominus prompti, nõ tamen ferior est animus, sed ad irã procliuis tantũmodo: pulsus uerò magni, ac molles, & ueloces, & frequẽtes existũt. Et respiratio, cũ thorax cordi fuerit ꝓportionalis, eãdem pulsib. formã seruabit. Si uerò minor extiterit, tãto illis uelocior erit, & frequẽtior, quãto

©BIU Santé



καὶ ὁ θώραξ μικρότερός ἐστιν. πολλῆς δὲ τῆς κατὰ τὴν κρᾶσιν ἐκτροπῆς γενομένης, καὶ μάλιστα εἰ κατὰ τὴν ὑγρότητα συμπέσῃ τοῦτο, πρὸς τοῖς εἰρημένοις ἔτι καὶ τὰ σηπεδονώδη νοσήματα, διαφθειρομένων τε καὶ σηπομένων αὐτοῖς τῶν χυμῶν συμπεσεῖται, καὶ αἱ ἐκπνοαὶ, μείζους τε καὶ θάττους τῶν εἰσπνοῶν, κατὰ τοῖς σφυγμοῖς ἡ συστολὴ ταχεῖα.

& thorax minor extiterit. Si autem multa facta fuerit euersio in temperatura, ac si hoc præsertim in humiditate contigerit, præter ea quæ diximus: cõtingent etiam ex putredine morbi his qui in ipsis fuerint humorib. corruptis, ac putrefactis. Expirationes autem maiores sunt, ac ueclociores inspirationibus, & submißio arteriæ in pulsibus uelox.

## SIGNA CORDIS HVMIDI, ET frigidi. Cap. XXXV.

Ὑγροτέρας δὲ καὶ ψυχροτέρας καρδίας, οἱ μὲν σφυγμοὶ μαλακοί,

Humidioris uerò, & frigidioris cordis, pulsus quidem molles, mo-

ribus

©BIU Santé


κοὶ, τὸ δὲ ἦθος, ἄτολμόν τε καὶ δειλὸν, καὶ ὀκνηρὸν. εἰσὶ δὲ καὶ ψιλοὶ τριχῶν οἱ τοιοῦτοι τὰ στέρνα, καὶ ἥκιστα μηνῶσιν, ὥσπερ ἐς εἰς ὀργὴν οὐχ ἕτοιμοι. τὰ δὲ κατὰ θώρακα, καὶ τὸ σύμπαν σῶμα, τοῖς ἔμπροσθεν ὡσαύτως διοριστέον.

ribus autem nequaquã audaces, sed timidi, & segnes existunt. Tales etiam glabrũ pectus habent, minimeq; iram retinẽt, sicuti, & ad iram non admodũ sunt prompti. Quæ uerò ad thoracem, & uniuersum attinẽt corpus, distinguere oportet, sicuti ea quæ ante diximus.

## SIGNA CORDIS FRIGIDI, & sicci. Cap. XXXVI.

Ἡ ψυχροτέρα δὲ καὶ ξηροτέρα καρδία, τοὺς μὲν σφυγμοὺς, σκληροὺς ἐργάζεται καὶ μικρούς. τὴν δὲ ἀναπνοὴν, εἰ μὲν ἀνάλογον τῇ ψυχρότητι, μικρὸς ὁ θώραξ γένοιτο σύμμετρον. εἰ δὲ μείζων ἀραιὰν

Frigidius uerò cor, & siccius, pulsus quidẽ duriores reddit, & paruos: respirationẽ autem, si quidem thorax paruitatem cordis frigiditati proportionalem habuerit, moderatam, si uerò maior extiterit, raram

©BIU Santé



ἀραιὰν καὶ βραδεῖαν, ἀοργητότατοι πάντων οὗτοι. βιασθέντες μὲν τοι τισιν ὀργισθῆναι, φυλάττουσι τὴν μῆνιν, εἰσὶ δὲ καὶ ἄτριχοι τὰ στέρνα πάντων μάλιστα. περὶ δὲ σμικρότητος τοῦ θώρακος, ἔτι δὲ τῆς τοῦ ὅλου σώματος ψυχρότητος ὁμοίως διοριστέον. ἓν κοινὸν τῶν πᾶσι τοῖς εἰρημένοις ἐκεῖνο μεμνημένους, ὡς ὅσα περὶ ἠθῶν, ἢ νῦν, ἢ κατ' ἄλλον τινὰ γέγραπται λόγον, εἰς διάγνωσιν κράσεως, οὐχ ὑπὲρ τῶν ἐκ φιλοσοφίας, ἢ χρηστῶν, ἢ μοχθηρῶν ἠθῶν ἐγγιγνομένων, ἀλλ' ὑπὲρ τῶν ἐμφύτων ἑκάστῳ λέλεκται.

Ἥπατος

raram ac tardam. Hi uerò præ omnib. minimè ad irascendū prompti. Cum autem coacti fuerint irasci quibusdā, retinent iram. Habent autē maximè omniū nudum pilis pectus. De paruitate autem thoracis, ac præterea totius corporis frigiditate similiter distinguēdum. Vnum illud cōmune in hisce omnibus memoria repetentibus, quòd quæcunq; de moribus, siue nūc, siue quouis alio sermone explicata sunt ad tēperaturæ cognitionē, non de optimis moribus, ac uitiosis, qui ex philosophia hominibus adueniūt, sed de insitis, ac naturalib. nos exposuisse.

©BIU Santé



## SIGNA CALIDI HEPATIS. Caput XXXVII.

Ἥπατος θερμοτέρου γνωρίσματα, φλεβῶν εὐρύτης, ἡ ξανθὴ χολὴ πλείων. ἐν δὲ τῷ χρόνῳ τῆς ἀκμῆς καὶ ἡ μέλαινα, θερμότερον αὐτῆς τὸ αἷμα, καὶ διὰ τοῦτο καὶ τὸ σύμπαν σῶμα. πλήρει μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττῃ, δασύτης τῶν καθ' ὑποχόνδρια καὶ γαστέρα.

Hepatis calidioris indicia, uenarũ latitudo, ruffa bilis abũdantior, in consistenti uerò ætate etiã atra: calidior ipsis sanguis, atq; eadem ratione corpus uniuersum, nisi obstiterit cor. His uẽter, et ilia hirsuta.

## SIGNA HEPATIS FRIGIDI. Caput XXXVIII.

Ψυχροτέρου δὲ στενότης φλεβῶν, φλέγμα πλεῖον, αἷμα ψυχρότερον, καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις ψυχροτέρα,

Frigidioris uerò, angustia uenarũ, pituita abũdantior, sanguis frigidior, et totius corporis habitus,

©BIU Santé


ρα, εἰ μὴ πρὸς τῆς καρδίας θερμαίνοιτο, ψιλὰ τριχῶν ὑποχόνδριά τε καὶ γαστήρ.

bitus, nisi à corde caleſiat, uenter illis glaber eſt, atq; ilia.

## SIGNA HEPATIS SICCI. Caput XXXIX.

Ξηροτέρου δὲ, τὸ μὲν αἷμα παχύτερον καὶ ὀλιγώτερον, αἱ φλέβες δὲ σκληρότεραι, καὶ ἡ σύμπασα τοῦ σώματος ἕξις ξηροτέρα.

Siccioris autem, ſanguis quidem craßior, et minus abundans, uenæ duriores, & totius corporis habitus ſiccior.

## SIGNA HVMIDI HEPATIS. Caput XL.

Ὑγροτέρου δὲ, τὸ μὲν αἷμα πλεῖον τε καὶ ὑγρότερον, αἱ φλέβες δὲ μαλακώτεραι. οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα, πλὴν εἰ μὴ κατὰ τὴν καρδίαν ἀντιπράττει.

Humidioris autē, ſanguis quidē abūdantior, atq; humidior, uenæ autem molliores, ita uerò et uniuerſum corpus niſi partes ad cor attinentes obſtiterint.

SIGNA

©BIU Santé


## SIGNA CALIDI, ET SICCI hepatis. Cap. XLI.

Θερμοτέρου δὲ ἅμα καὶ ξηροτέρου ἥπατος γνωρίσματα, λασιώτατον ὑποχόνδριον, αἷμα παχύτερόν τε ἅμα καὶ ξηρότερον, ἡ ξανθὴ χολὴ πλείστη, κατὰ δὲ τὴν ἀκμὴν ἡ μέλαινα, φλεβῶν εὐρύτης τε καὶ σκληρότης. οὕτως δὲ καὶ τὸ σύμπαν σῶμα. θερμότης μὲν γὰρ ἡ ἐκ καρδίας ὁρμωμένη, νικῆσαι δύναται τὴν ἐξ ἥπατος ὁρμωμένην ψυχρότητα, καθάπερ καὶ ἡ ψυχρότης τὴν θερμότητα. τὴν ξηρότητα δὲ, οὐχ οἷόν τε πρὸς τοὐναντίον ὑπὸ

τῆς

Calidioris uerò simul, ac siccioris hepatis indicia, ilia plurimum hispida, sanguis craßior simul, ac siccior, ruffa bilis plurima est, cõsistente autem ætate & atra, uenarũ aũt latitudo, & durities. Sic uerò & uniuersum corpus se habet. Nã quæ ex corde caliditas originẽ habet, potest obtũdere eã quæ ab hepate nascitur frigiditatẽ, sicuti & frigiditas caliditatẽ. Siccitatẽ uerò non potest humidius

cor

©BIU Santé



τῆς καρδίας ὑγροτέρας γενομένης ἀχθῆναι. μεταξὺ δὲ ὄντων ἡ ἀφ᾽ ἥπατος ὑγρότης τῶν εἰρημένων. μᾶλλον μὲν γὰρ ὑπὸ τῆς καρδίας νικᾶται ξηρότητος, ἤπερ ἡ ξηρότης ὑπὸ τῆς ὑγρότητος. ἧττον δὲ τῆς θερμότητος, ἔτι δὲ μᾶλλον ἧττον τῆς ψυχρότητος. εὐνικητοτάτη γὰρ αὕτη τῶν ἐξ ἥπατος ὁρμωμένων ποιοτήτων. εὔδηλον οὖν ὡς ἐπειδὰν εἰς ταυτὸ συνδράμωσιν αἱ τῶν ἀρχῶν ἀμφοτέρων κράσεις, ὅλον ἀκριβῶς τὸ σῶμα κατ᾽ ἐκείνας διατίθεται. λεχθήσεται δὲ ὀλίγον ὕστερον αὐτοῦ τὰ γνωρίσματα.

Τὸ

cor ad contrarium habitum transferre. Media uerò inter has quæ dictæ sunt, est ea quæ ab hepate humiditas oritur. Magis enim à cordis siccitate superatur, quàm siccitas ab humiditate: minus autẽ caliditate, adhuc uerò multo minus frigiditate. Hæc enim inter omnes qualitates quæ ab hepate eueniũt, facilimè uincitur. Liquet autẽ quòd cum in unum conuenerint utriusque principij temperaturæ, totũ exquisite secundũ illas afficitur corpus, paulò uerò inferius ipsius dicentur indicia.

SIGNA

©BIU Santé



## SIGNA HEPATIS CALIDI & humidi. Caput XLII.

Τὸ δὲ ὑγρότερον ἅμα καὶ θερμότερον ἧπαρ, ἧττον μὲν τοῦ θερμοτέρου καὶ ξηροτέρου τὰ καθ' ὑποχόνδριον ἐργάζεται λάσια. πλεῖστον δ' αἷμα καὶ φλέβας μεγάλας, καὶ τὴν ἕξιν ὑγροτέραν, καὶ θερμοτέραν εἰ μὴ τὰ κατὰ τὴν καρδίαν ἀντιπράττῃ. εἰ δὲ ἐπὶ πλέον ἀμφοτέρας ταῖς ποιότησιν ἐκτραπείη τῆς κατὰ φύσιν, ἑτοίμως ἁλίσκεται τοῖς σηπεδονώδεσι καὶ κακοχύμοις νοσήμασιν, ἔτι μᾶλλον εἰ τῷ πλεῖστον μὲν αὐξηθείη τὸ ὑγρόν, ἐπ'

ὀλίγον

*Humidius autem, ac simul calidius hepar, minus quidem quàm calidius, & siccius ilia reddit hispida. Plurimũ uerò sanguinis, & uenas amplas, habitumq; calidiorẽ, atq; humidiorem facit, nisi obstiterit cor. Si uerò amplius in ambabus qualitatib. à naturæ modo recedat, à morbis q ex putredine, ac uitiosis humorib. fiunt, facilimè capitur. Adhuc aũt magis si plurimũ augeatur humiditas, cali-*

*ditas*

©BIU Santé


ὀλίγον δὲ τὸ θερμόν. εἰ δ' ἔμπαλιν ἐπ' ὀλίγον μὲν αὐξηθείη, τὸ ὑγρόν, ἐπὶ πλεῖστον δὲ τὸ θερμόν, ἥκιστα κακόχυμοι γίγνονται.

ditas uerò non ita. Si autem contra, parum quidem humiditas crescat, plurimũ uerò caliditas, minimè uitiosis humoribus laborant.

## SIGNA HEPATIS HVMIDI, & frigidi. Cap. XLIII.

Τὸ δ' αὖ ὑγρότερον καὶ ψυχρότερον ἧπαρ, ἄτριχον μὲν ἔχει τὸ ὑποχόνδριον. αἷμα δ' ἐργάζεται φλεγματικώτερον, ἅμα τῇ τῶν φλεβῶν στενότητι. καὶ τὸ σύμπαν σῶμα παραπλησίως ἔχον, εἰ μὴ πρὸς τῆς καρδίας ἐς τἀναντία μετάγοιτο.

Humidius aũt, & frigidius hepar habet ilia glabra, sanguinem uerò ad pituitæ naturam accedentem generat, cum uenarũ angustia: sic & reliquũ afficit corpus, nisi à corde ad contrariam naturam transferatur.

## SIGNA HEPATIS FRIGIDI, & sicci. Cap. XLIIII.

Τὸ δὲ ψυχρότερον καὶ ξηρότερον ἧπαρ, ὀλίγαι

μόν

Frigidius aũt, & siccius hepar cum pauco

sanguine

©BIU Santé



μόν τε καὶ στενόφλεβον ἐργάζεται τὸ σῶμα καὶ ψυχρότερον. ὑποχόνδριόν τε ψιλὸν, εἰ μὴ κἀνταῦθα νικήσειεν ἡ καρδία.

*sanguine, & uenarũ angustia efficit corpus, atque frigidius, & ilia glabra, nisi & hic cor dominetur.*

## SIGNA CALIDAE, FRIGIDAE, *humidæ, & siccæ tẽperaturæ testiculorum.* Cap. XLV.

Τῆς δὲ τῶν ὄρχεων κράσεως, ἡ θερμὴ μὲν, ἀφροδισιαστική τέ ἐστι, καὶ ἀῤῥενόγονος, καὶ γόνιμος, καὶ ταχέως δασύνει τὰ γεννητικὰ μόρια· συνεφάπτεται δὲ καὶ τῶν πέριξ. ἡ ψυχροτέρα δὲ, τἀναντία. καὶ ἡ μὲν ὑγρὰ πολύσπερμός τέ ἐστι καὶ ὑγρόσπερμος, ἡ ξηρὰ δὲ, ὀλιγόσπερμός τε καὶ μετρίως παχύσπερμος.

*Tẽperatura uerò testiculorũ, calida quidem ad uenerẽ procliuis est, & masculorũ generatrix, & fœcũda, celerrimeq; genitales partes obsepit pilis, simul autẽ & circũiacentes attingit partes. Frigidior uerò cõtraria efficit. Et humida quidẽ multo et humido semine abundat. Sicca paucũ, & modicẽ crassum generat semẽ.*

Ἡ θερ- SIGNA

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 513 sur 669

©BIU Santé



## SIGNA CALIDAE, ET SICCAE *temperaturæ testiculorum.*

### Caput XLVI.

Ἡ θερμοτέρα δὲ καὶ ξηροτέρα, παχυσπερματάτη τέ ἐστι καὶ γονιμωτάτη, καὶ τάχιστα πρὸς συνουσίαν ἐπεγείρει τὸ ζῶον εὐθέως ἐξ ἀρχῆς. ἀτὰρ οὖν οἱ τοιοῦτοι δασιῶνται τάχιστα τὰ γεννητικὰ μόρια, καὶ σύμπαντα τὰ πέριξ, ἄνω μὲν ἄχρι τῶν κατὰ τὸν ὀμφαλὸν χωρίων, κάτω δὲ, μέχρι μέσων μηρῶν. ὁρμητικὴ μὲν οὖν ἡ τοιαύτη κρᾶσις ἱκανῶς ἐπ' ἀφροδίσια, τάχιστα δὲ ἐμπιπλαμένη, καὶ εἰ βιάσαιτο, βλαπτομένη.

Συνελ

*Calidior uerò, ac siccior, & crassum semen habet, & fœcundißima est, quæ celeriter ab initio protinus ad coitum excitat animal. Sed & his genitales partes citißime hispidæ fiunt, atque omnes quæ circumstant suprà quidem usque ad umbilicum, infrà uerò usq; ad media fœmora. Petulca igitur est, & ad libidinē prona huiuscemodi temperatura, statim uerò satiatur, & si cogatur, offenditur.*

SIGNA

BIU Santé



## SIGNA CALIDAE, ET HVMIDAE temperaturæ testiculorũ. Cap. XLVII.

Συνελθούσης δὲ ὑγρότητος τῇ θερμότητι, λάσιοι μὲν ἧττον οἱ τοιοῦτοι, πολύσπερμοι δὲ μᾶλλον, οὐ μὴν ὀρέγονταί γε μᾶλλον τῶν ἑτέρων, ἐξαρκοῦσι δ' ἀβλαβέστερον ἀφροδισίοις πλείοσιν. εἰ δ' ἱκανῶς ἄμφω συναυξηθείη τό, θ' ὑγρὸν καὶ θερμόν, οὐδ' ἀβλαβῶς ἀπέχονται τῶν ἀφροδισίων.

Si autẽ caliditas humiditati cõiungatur, hirsuti quidẽ tales minus, plus uerò semine abundant: nõ tamen plus cæteris appetunt, sed minori detrimẽto præter modum uenereis indulgent: quod si satis excreuerint & caliditas, & humiditas, non sine detrimento à uenereis abstinent.

## SIGNA FRIGIDAE ET HVmidæ temperaturæ testiculorum. Caput XLVIII.

Εἰ δ' ὑγρότεροι καὶ ψυχρότεροι τὴν κρᾶσιν οἱ ὄρχεις γένονται, ψιλὰ τὰ πέριξ τριχῶν, καὶ βραδέως ἀφροδι-

Si uerò frigidiorem, & humidiorem temperaturam testiculi habuerint, partes circumpositæ glabræ sunt, et tarde

©BIU Santé



ἀφροδισιάζειν ἄρχονται, καὶ οὐδ᾽ ὁρμητικοὶ πρὸς τὴν ἐνέργειαν εἰσίν, ὑδατώδες δὲ καὶ λεπτὸν αὐτοῖς τὸ σπέρμα, καὶ ἄγονον καὶ θυλύγονον.

rem ueneream exercere incipiũt, neque proni ad actum huiuscemodi sunt. Aquosum uerò, & tenue ipsis est semen, et infœcũdum & fœminarum generatiuum.

## SIGNA FRIGIDAE, ET SICCAE tẽperaturæ testiculorũ. Cap. XLIX.

Ἡ ψυχροτέρα δὲ καὶ ξηροτέρα κρᾶσις, ὁμοία μὲν τἄλλα τοῖς προειρημένοις, παχύτερον δ᾽ αὐτοῖς τὸ σπέρμα καὶ παντάπασιν ὀλίγον.

Frigidior uerò, & siccior temperatura similis quidẽ in reliquis est antedictæ. Crassius uerò in ipsa semen existit, atq; omnino paucum.

## DE HABITV TOTIVS CORporis. Cap. L.

Αἱ δ᾽ ὅλου τοῦ σώματος ἕξεις, εἴρηνται μὲν που καὶ πρόσθεν, ὡς ὁμοιοῦνται καρδίᾳ καὶ

Totius autem corporis habitus diximus, & superius quomodo & hepatis.

© BIU Santé



καὶ ἥπατι. κρατεῖ δὲ ἡ ὁμοιότης τοῦ σφοδροτέραν ἔχοντος ἥντινα οὖν τῶν πρώτων ποιοτήτων, ἃς δὴ καὶ δραστικὰς ὀνομάζουσιν. ὅλου δὲ τοῦ σώματος ἡ ἕξις, ἐπ' ἐκείνων λέγεται μάλιστα τῶν μορίων, ὅσα θεωμένοις ὑποπίπτει πρῶτα. μύες δέ εἰσιν οὗτοι πᾶσι τοῖς ὀστοῖς περιβεβλημένοι, σύνθετοί τινες σάρκες, ἔκ τε τῆς ἁπλῆς καὶ πρώτης σαρκὸς, ἔτι δὲ τῶν ἰνῶν αἷς αὗται προσπεφύκασιν. ἡ γὰρ οἰκεία τῶν μυῶν οὐσία, ταῦτ' ἐστὶν ἄμφω. τὰ δ' εἰς αὐτοὺς ἥκοντα τῶν ἀγγείων οἷον ὀχετοί τινές εἰσιν, οὐ συμπληροῦντες αὐτῶν

hepatis, & cordis naturam sequatur, ei autem magis assimilantur, qd' unam aliquã ex primis qualitatibus potentiorẽ habuit, quas & effectiuas appellãt. Totius uerò corporis habitus in illis maximè dicitur partibus quæ primæ oculis subijciuntur: sunt uerò hæ, musculi, qui omnia ambiũt ossa, carnes quædam compositæ ex prima & simplici carne, et filis quibus innascũtur, propria enim musculorum substãtia his duob: cõstat: quæ uerò ad ipsos, uasa pertingũt, uelut riui quidã sunt: qui non

©BIU Santé



τὴν οὐσίαν, ἀλλ᾽ ὑπηρετοῦντες εἰς διαμονήν. εἰρήσεται γοῦν καὶ τὰ τῆς τούτων κράσεως γνωρίσματα, κατὰ τὴν εὔκρατον οἴκησιν. ἐξαλλάττουσι γὰρ αἱ δύσκρατοι τὸ δέρμα, καθ᾽ ἑαυτὰς τυποῦσαι, καὶ διαφθείρουσιν ἔνια τῶν γνωρισμάτων. οὕτως δὲ καὶ εἰ κατὰ τὴν εὔκρατον χώραν ὥρᾳ θέρους ἑαυτὸν ἡλίῳ τις παραβάλλοι γυμνόν, ἐξαλλάξει τῶν γνωρισμάτων ὅσα κατὰ χρόαν ἐστί, καὶ τὴν ἐν μαλακότητι καὶ σκληρότητι οὖσαν. εἰ δ᾽ ὥσπερ εὔκρατόν ἐστι τὸ χωρίον, οὕτως καὶ αὐτὸς εὐκράτως διαιτῷτο, μήτ᾽ ἐξοπτώμενος

non ſubſtantiã cõplent, ſed eis ſubminiſtrãt, ut in uita pmaneãt. Dicentur igitur, & horũ temperaturæ indicia, in benè temperata habitatione. Nam quæ malè temperaturæ ſunt, cutẽ permutãt ex ſeipſis formantes, & quædam ex indicijs corrũpunt: ita & in benè tẽperata regione, ſi quis ſe tempore æſtatis nudum ſoli expoſuerit, permutabit indicia quæ ex calore, & duritie, & mollitie ſumũtur: ſi uerò quemadmodum bonã temperiem obtinet locus, ita & ipſe bene tẽperato uictu uſus fuerit, ut qui neq; ſe plurimũ ſingulis diebus in

ſole

©BIU Santé



μενος ἐν ἡλίῳ, γυμνὸς ἑκάστης ἡμέρας τὸν πλεῖστον. ἀλλὰ μηδ' ὥσπερ ἔνιοι δίκην παρθένου σκιατραφούμενος, ἀκριβῆ τὰ τῆς κράσεως ἐνδείξηται γνωρίσματα. τοίνυν ὡς ἐπὶ τούτων τοῦ λόγου γενησομένου, προσέχομεν ἤδη τὸν νοῦν αὐτῷ.

ſole torrefaciat, neq; ſicuti pleriq; more puellarũ continuè in umbra degat, hic certa atq; exquiſita tẽperaturæ indicia præ ſe feret: tanquã igitur de hoc futuro ſermone nũc ad ipſum accedemus.

## SIGNA MODERATAE TEMperaturæ. Cap. LI.

Συμμέτρου κράσεως γνωρίσματα πρὸς ὅλην τοῦ ζώου τὴν ἕξιν, ἡ χροιὰ μὲν ἐξ ἐρυθροῦ καὶ λευκοῦ συμμιγής. αἱ τρίχες δὲ ξανθαὶ μετρίως, καὶ οὖλαι τὰ πολλά. συμμετρία δὲ σαρκώσεως, ἐν ποσότητι καὶ ποιότητι.

Moderatæ temperaturæ indicia ſecundũ totum animalis habitum. Color quidẽ ex rubro, & albo cõmixtus, capilli uerò flaui, & ut plurimũ mediocriter criſpi. Carnoſitatis autem mediocritas in qualitate, et quantita-

©BIU Santé



ποιότητι. μέσον γὰρ ἀκριβῶς ἐστὶ τὸ τοιοῦτον σῶμα πασῶν τῶν ὑπερβολῶν, ὡς ἂν καὶ νενομισμένων τε καὶ λεγομένων πρὸς αὐτό. καὶ γὰρ τὸ παχὺ σῶμα πρὸς τοῦτο λέγεται παχύ, καὶ τὸ λεπτὸν ὡσαύτως πρὸς τοῦτο πολύσαρκόν τε καὶ ὀλιγόσαρκον, καὶ πιμελῶδες, καὶ σκληρόν, καὶ μαλακόν, καὶ λάσιον, καὶ ψιλόν. οὐδὲν οὖν τούτων ἐστὶ σύμμετρον. ἀλλ' οἷος ὁ Πολυκλείτου κανὼν εἰς ἄκρον ἥκει συμμετρίας ἁπάσης, ὡς ψαυόντων μὲν μήτε μαλακὸν φαίνεσθαι, μήτε σκληρόν, μήτε θερμόν, μήτε ψυχρόν, ὁρώντων δὲ μήτε λά-

quantitate. Medium est enim exquisite huiusmodi corpus inter omnes excessus, ut q ad ipsum dicantur, & cognoscantur: nam et crassum corpus ad hoc cōparatum dicitur crassum, & tenue ad hoc eodem modo, & carnosum, & macilentū, et pingue, & durum, & molle, & hispidum, & glabrū: nullius igitur horum mediocritas est. Sed qualis Polycleti regula ad summū totius peruenit mediocritatis, adeò ut neque tangētibus molle uideatur neq; durum, neq; calidū, neq; frigidū, inspicientib. uerò, neq; hir

σιον,

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 520 sur 669

©BIU Santé



σιον, μήτε ψιλόν, μήτε παχὺ, μήτε ἰσχνὸν, ἤ τινα ἑτέραν ἔχον ἀμετρίαν.

ſutum, neq; glabrum, neque craſſum, neque tenue, aut aliquem aliũ habens exceſſum, uel defectum.

## DE CORPORE CALIDIORE. Caput LII.

Ὅσα δὲ τοῦ συμμέτρου θερμότερα μέν ἐστιν, οὐ μὴν ὑγρότερά γε ἢ ξηρότερα κατὰ τὸ σαρκῶδες γένος. καὶ ὑπὲρ τούτου γὰρ ὁ ἐνεστηκὼς λόγος φαίνεται μὲν δήπου καὶ ἁπτομένοις θερμότερα τοσοῦτον, ὅσον περ ἐστὶ τὴν κρᾶσιν θερμότερα. λασιώτερα δὲ τοσοῦτον ἐστὶ, ὅσον περ καὶ θερμότερα, καὶ πιμελῆς ἧττον ἔχοντα, τὴν χροιὰν δ' ἐξέρυθρα, καὶ μελανότριχα.

Quæcunq; autem in caliditate à medio recedunt, nõ tamen in humiditate, & ſiccitate, hæc quantũ ad carnoſum genus attinẽt, de hoc enim præſens eſt ſermo, uidentur quidem tangentibus calidiora tantum quãtum & eorũ tẽperatura calidior. Tanto uerò magis hirſuta ſunt, quãto et calidiora, et minus pinguedinis habẽt, colorẽ autem rubrũ, & capillos nigros habent.

©BIU Santé



## SIGNA FRIGIDAE TEMPERATURAE. Cap. LIII.

Ψυχροτέρας κράσεως σημεῖα, τὸ ἄτριχον, τὸ πιμελῶδες, τὸ ψυχρὸν ἁπτομένοις. ἡ χροιὰ δ' αὐτοῖς, ἅμα ταῖς θριξὶ πυῤῥοτέρα. πολλῆς δὲ τῆς ψύξεως οὔσης, πελιδνή πως ἐστιν, καὶ καλεῖν ἔθος ἐστὶν ἐνίοις τῶν ἰατρῶν τοὺς τοιούτους μολυβδοχρῶτας.

Frigidioris autē tēperaturæ indicia sunt pilorum carētia, pinguedo, & frigiditas quæ tāgentibus obuiat. Color autē unà cum capillis ruffus, & ubi frigiditas excesserit, liuidus quodammodo existit, quem nonnulli medici colorem plumbeum appellant.

## SIGNA SICCAE TEMPERATURAE. Cap. LIIII.

Ἡ δὲ ξηροτέρα κρᾶσις, ἰσχυροτέρα τέ ἐστι, καὶ σκληροτέρα τῆς εὐκράτου τοσοῦτον, ὅσονπερ ἂν ᾖ ξηροτέρα. τὰ δ' ἄλλα παραπλήσιος.

Siccior autē temperatura tanto gracilior est, & durior bona temperatura, quāto maior est siccitas. In reliquis autē eodem modo se habet.

SIGNA

Καὶ

BIU Santé


## SIGNA HVMIDAE TEMPE-raturæ. Cap. LV.

Καὶ ἡ ὑγροτέρα δὲ, τὰ μὲν ἄλλα παραπλησίως, εὐσαρκωτέρα δὲ καὶ μαλακωτέρα, ἐπεὶ μὴν καὶ κατὰ συζυγίαν τῶν πρώτων ποιοτήτων αἱ δυσκρασίαι γινόμεναι, σύνθετον ἔχουσι καὶ τὴν τῶν γνωρισμάτων ἰδέαν.

Et humidior etiam in reliquis quidẽ eodẽ modo se habet melius autem carnosa, & mollior & quidem secundũ coniugationem qualitatum primarum, factæ intemperaturæ cõpositam habent indiciorũ formam.

## SIGNA CALIDAE, ET SICCAE temperaturæ. Cap. LVI.

Ἡ μὲν γὰρ θερμοτέρα καὶ ξηροτέρα, λασιωτέρα, καὶ θερμοτέρα, καὶ σκληροτέρα, καὶ ἀπίμελος ἐστὶ, καὶ ἰσχνὴ, καὶ μελανόθριξ. εἰ δὲ ἐπὶ πλέον ἥκει θερμότητος, καὶ μελάγχρους.

Calidior simul, ac siccior est hirsuta magis, ac calida, & dura existit, & pinguedine caret tenuisq; est, & capillos nigros habet. Si uerò multum in caliditate excedat, color quoq; niger illi adest.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 523 sur 669

©BIU Santé



## SIGNA CALIDAE, ET HVMI dæ temperaturæ. CAp. LVII.

Ἡ θερμοτέρα καὶ ὑ-
γροτέρα κρᾶσις, μα-
λακωτέρα τε καὶ λυ
σαρκοτέρα, καὶ θερμο
τέρα τῆς ἀρίστης κρά
σεως εἰς τοσοῦτον ἐστὶν,
εἰς ὅσον, ἀμφοτέραις
αὐξηθῆ ταῖς ποιότη-
σιν. ἐπὶ πλεῖστον δ' αὐ
ξηθεῖσα, τοῖς σηπεδο-
νώδεσιν ἑτοίμως ἁλί
σκεται νοσήμασιν, ὅτι
καὶ κακόχυμος ἑτοί-
μως γίγνεται. εἰ δ'
ὀλίγῳ μὲν ὑγροτέ-
ρα, παμπόλλῳ δ' εἴη
θερμοτέρα, καὶ μα-
λακώτεροι μὲν ὀλί-
γῳ τῶν συμμέτρων οἱ
τοιοῦτοι, καὶ σαρκω-
δέστεροι, λασιώτεροι δὲ οὐκ ὀλίγῳ. καὶ μὲν
δὴ καὶ

Calidior autẽ, & hu
midior tẽperatura mol
lior, & calidior, & car-
nosior tãto est bona tẽ-
peratura, quantum &
utrisq; qualitatibus au-
cta fuerit, quod si pluri-
mũ augeatur, cito à pu
tredinis corripitur mor
bis: quoniam & humo-
rum uitio prompte la-
borat. Si uerò parum
quidẽ humidior sit, mul
to uerò calidior, mollio-
res quidem parũ huius-
modi sunt his, qui bonã
habent temperaturã, et
magis carnosi, nõ parũ
uerò hirsutiores, & tan
gentibus

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 524 sur 669

© Santé



δὴ καὶ ἁπτομένοις, οὐκ ὀλίγῳ θερμότεροι. μέλαιναι δ' αὐτοῖς αἱ τρίχες, καὶ ἡ σὰρξ ἀπίμελος. εἰ δ' ὀλίγῳ μὲν εἴη θερμοτέρα, παμπόλλῳ δὲ ὑγροτέρα, μαλακὴ τούτοις ἐστὶν ἡ σὰρξ, καὶ πολλή, καὶ τὸ χρῶμα συμμιγὲς ἐξ ἐρυθροῦ καὶ λευκοῦ, καὶ ψαυόντων ὀλίγῳ θερμότεροι. συλλήβδην δ' εἰπεῖν περὶ τῶν κατὰ συζυγίαν κράσεων, ἀεὶ τῆς ἐπικρατούσης ποιότητος, ἐπικρατήσει τὰ γνωρίσματα.

gentibus non parum calidiores: nigri uerò eis capilli, & caro pinguedine caret. Si uerò paulò quidem calidior multo uero humidior, mollis his caro est, & multa: & color commixtus est ex albo, & rubro, & tangentibus paulò calidiores. Et ut summatim dicatur, in omnibus temperaturæ coniugationibus semper superexcedentis qualitatis indicia eminebunt.

## SIGNA FRIGIDAE, ET HVmidæ tẽperaturæ. Cap. LVIII.

Ἡ ψυχροτέρα δὲ καὶ ὑγροτέρα κρᾶσις, ἐπ-

Frigidior autem, atque humidior temperatura, si parum

©BIU Santé



ἐπ' ὀλίγον μὲν ἀμφοῖν ηὐξημένων, ἄτριχός τέ ἐστι, καὶ λευκὴ καὶ μαλακὴ, καὶ παχεῖα, καὶ πιμελώδης, ἐπὶ πλεῖον δὲ τὰ μὲν ἄλλα κατὰ ἀναλογίαν τῆς τῶν ποιοτήτων αὐξήσεως, ἡ χροιὰ δὲ ἅμα ταῖς θριξὶ πυῤῥὰ, καθάπερ γε καὶ εἰ ἐπὶ πλεῖστον ἀμφοῖν ηὐξημένων πελιδνή. εἰ δ' ἄνισος ἡ αὔξησις εἴη τῶν ποιοτήτων, ἐπικρατήσει τὰ τῆς μᾶλλον ηὐξημένης ἴδια.

ſi parũ quidẽ utraq; augeatur pilis nuda eſt, et alba, et mollis, et craſſa, & pinguis. Si uerò magis exceſſerit, reliqua quidẽ ſunt ſecundũ proportionẽ augmẽti qualitatum, color autem unà cũ capillis ruffus, quem admodum ſi plurimum utraque augeatur, liuidus. Si uerò qualitatum augmentum fuerit inæquale eius quæ ſuperexceſſerit, indicia eminebunt.

## SIGNA FRIGIDAE, ET SICcæ temperaturæ. Cap. LIX.

Εἰ δὲ τὸ ψυχρὸν ἅμα τῷ ξηρῷ κατ' ἴσον αὐξηθείη φύσει

σκληρὸν

Si autem frigiditas unà cum ſiccitate æqualiter augeatur, natura

durum

©BIU Santé



σκληρὸν καὶ ἰσχνὸν
ἴσχουσι τὸ σῶμα καὶ ἄ-
τριχον, ἁπτομένοις δὲ
ψυχρόν. ἡ πιμελὴ δὲ
ὅμως αὐτοῖς, καίτοι
γε ἰσχνοῖς οὖσι, παρέ-
σπαρται τῇ σαρκί.
τὰ δὲ τῶν τριχῶν καὶ
τῆς χροιᾶς, ἀνάλογον
τῷ μέτρῳ τῆς ψυχρό-
τητος. μεταπεσούσης
δὲ τῆς θερμῆς, καὶ ξηρᾶς
κράσεως ἐν τῷ χρόνῳ
τῆς παρακμῆς εἰς τὴν ξη-
ράν τε καὶ ψυχρὰν, ἡ ἕξις
τῶν τοιούτων ἰσχνὴ καὶ
σκληρὰ, καὶ μελαγχο-
λικὴ, διὰ τοῦτο μέλαι-
νά τε ἅμα καὶ δασεῖα.
κρατούσης μὲν τῆς ἑτέ-
ρας τῶν ποιοτήτων παρὰ
πολύ. τῆς δ᾽ ἑτέρας
ὀλίγον τι τοῦ συμμέτρου παραλλαττούσης ἐπικρα-
τήσει

*durum ac tenue, & glabrum corpus habẽt, & tangentibus frigidũ: pinguedo tamen ipsis, & si graciles sint, per carnes dispersa. Capilli autẽ, & color frigiditatis modum, ac proportionem sequuntur. Vbi uerò calida, & sicca tẽperatura in tẽpore decrementi, & in frigidũ, & siccum labitur habitũ, tũc hi graciles fiũt, & duri, atq; atra bilis in eis dominatur, & ob id nigri simul et hirsuti euadũt: ubi igitur altera qualitas plurimũ dominatur, altera uerò parũ à mediocritate recedit, supe*

rabunt

©BIU Santé



τήσει μὲν τὰ τῆς ἐπικρατούσης, ἀμυδρὰ δὲ ἔσται τὰ τῆς ἑτέρας γνωρίσματα. ἐπὶ πᾶσι δὲ τοῖς εἰρημένοις τε καὶ μέλλουσι λέγεσθαι, κοινὸν γνώρισμα κράσεως. εἰ μὲν εὔψυκτον εἴη τὸ μόριον, ἤτοι ψυχρότητος, ἢ ἀραιότητος, εἰ δὲ δύσψυκτον, ἤτοι θερμότητος, ἢ πυκνότητος. εἰ δ' ὑπὸ τῶν ξηραινόντων βλάπτοιτο, αὐχμηρόν τε καὶ ξηρὸν καὶ δυσκίνητον γένοιτο ξηρότητος ὥσπερ γε καὶ εἰ βαρύνοιτο πρὸς τῶν ὑγραινόντων ὑγρότητος. ἐπιβλέπειν δὲ καὶ εἰ ὡσαύτως ἀλλήλοις ἅπαντες οἱ μύες, ἢ οὐχ ὡσαύτως

rabunt eius quæ dominatur, exilia aũt erũt altera qualitatis indicia. In omnibus uerò de quibus suprà diximus, & postea dicemus, commune est temperaturæ indicium. si membrum facilè frigefit, uel frigiditatis, uel raritatis. Si uerò non facilè, uel caliditatis, uel dẽsitatis. Si uerò à desiccantibus offendatur, & aridũ, & siccum, & non facile mobile fiat, siccitatis quemadmodũ & si ab humectantibus grauiter se habeat, humiditatis. Inspicere autẽ oportet si eadem omnes musculi ser

uant

BIU Santé



τως κέκρανται, συνεχῶς ἐπισκοπούμενον ἐν ἅπασι πηλικότητα τῶν ὑποβεβλημένων ὀστῶν. ἐνίοτε γοῦν ἰσχνότερον εἶναι δοκεῖ τὸ μέρος, οὐκ ὂν ἰσχνότερον, ὅσον ἐπὶ τοῖς μυσί, διὰ δὲ τὴν στενότητα τῶν ὀστῶν τοιοῦτον φανταζόμενον. οὕτως δὲ καὶ παχύτερον ἐνίοις εἶναι δοκεῖ πολλάκις, οὐ διὰ τὴν εὐρύτητα τῶν ὀστῶν, ἀλλὰ διὰ τὸ τῆς σαρκὸς πλῆθος, ἥτις αὐξανομένη τε καὶ μειουμένη, σκληροτέρα τε καὶ μαλακωτέρα γινομένη, ἢ ξηρότερον ἢ ὑγρότερον ἀποφαίνει τὸ μόριον. ἡ μὲν οὖν ὀλίγη τε καὶ σκληρὰ τὸ ξηρότερον.

uãt temperaturam, uel minimè eandem, atque in omnibus animaduertere ſubiectorũ oßium quantitatem. Nonnunquàm enim gracile uidetur mẽbrũ, cum tamen non ſit gracile, quo ad muſculos attinet, ſed propter oßium tenuitatem tale uidetur, ſic & craßius quibuſdam plerunque apparet, nõ ob oßium amplitudinem, ſed ob multitudinẽ carnis, quæ uel aucta, uel comminuta, uel durior, aut mollior effecta, ſiccius, aut humidius membrum, oſtendit. Pauca igitur, ac dura ſiccius:

ἡ πολλὴ

©BIU Santé



ἡ πολλὴ δὲ ἐστὶν ἡ μαλακὴ, τὸ ὑγρότερον. οὕτω δὲ καὶ αἱ μεταξὺ χώραι τῶν ὁμοιομερῶν σωμάτων, ἤτοι πλέον ὑγρὸν ἐν αὐταῖς, ἢ ἔλαττον περιέχουσαι, καὶ ἤτοι παχύτερον, ἢ λεπτότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον ἀποφαίνει τὸ μόριον. ὑγρότερον μὲν ἔνθα λεπτοτέρα τε καὶ πλείων ἐστὶν ἡ ὑγρότης, ξηρότερον δὲ ὅπου παχυτέρα τε ἅμα ἐστὶ ἐλάττων. αὐτὰ μὲν γὰρ τὰ στερεὰ τοῦ σώματος μόρια, τὰ ὄντως στερεὰ καὶ πρῶτα, καθ' οὐδένα τρόπον οἷόν τέ ἐστιν ὑγρότερα ποιεῖν, ἀλλ' ἱκανὸν, εἰ κωλύσει τις αὐτὰ μὴ διὰ ταχέων ξηραίνεσθαι.

multa autem, & mollis, humidius. Sic & intermedia ſpacia ſimilarium corporũ, uel plus, uel minus humidæ ſubſtantiæ in ſeipſis continent, & uel craßius, uel tenuius, uel humidius, uel ſiccius mẽbrũ oſtendunt. Humidius quidem ubi ſubtilior, & plurima eſt humiditas, ſiccius uerò ubi craßior, ſimul, et minor. Ipſe enim ſolidæ corporis partes quæ uerè ſolidæ ſunt, ac primæ, nullo modo poſſunt effici humidiores: at ſatis eſt, ſiquis eas celerius exiccari ꝓbibeat.

Intercepta

©BIU Santé



θαι, τὰς δὲ διαλαμβανούσας αὐτὰ χώρας ἐνεσι πληροῦν ὑγρότητος, ἢ τοιαύτης ἢ τοίας. τοιαύτη δὲ ἐστιν ἡ οἰκεία τροφὴ τῶν ὁμοιομερῶν ἐκ παραθέσεως, οὐ διὰ ἀγγείων ἑλκομένη. κοινὸς δὲ καὶ οὗτος ὁ λόγος ἁπάντων ἐστὶ τῶν μορίων, καὶ ἐνθήσεται καὶ αὖθις ἐν τῇ τῶν ὑγιεινῶν αἰτίων διδασκαλίᾳ. νυνὶ δὲ τῶν ἐφεξῆς ἐχώμεθα.

Intercepta autē in ipsis spacia, hac uel illa humiditate complere possibile. Hæc uerò est proprium partiū similariū alimentum, quod ex appositione fit, & nō per uasa attrahitur. Cōmunis autem hæc ratio & omnium partium existit. Et iterū insalubriū, atq; insalubrium causarū doctrina repetetur: nūc autem ea quæ ordine sequuntur attingamus.

## SIGNA SICCI VENTRICVLI. Caput LX.

Γαστρὸς γνωρίσματα τῆς μὲν φύσει ξηροτέρας, εἰ ταχέως διψώδεις γίγνοιντο, καὶ ὀλίγον αὐτοῖς ἀρκοίη ποτὸν, καὶ βαρύνοιντο ὑπὸ

Vētriculi indicia, eius quidem qui natura siccior existit, si celeriter sitibundi fiant, & paucus eis sufficiat potus, à

©BIU Santé



πλείονι, καὶ κλύδωνας ἴσχοιεν, ἢ ἐπιπολάζοι τὸ περιττεῦον αὐτοῖς, ἐδέσμασί τε χαίροιεν ξηροτέροις.

plurimo autem aggrauentur, fluctuationibus infestentur, aut superfluitet id quod abundat ipsis, & cibis delectantur siccioribus.

## SIGNA HVMIDI VENTRICULI. Cap. LXI.

Ὑγροτέρας δὲ, εἰ μήτε διψώδεις γίγνοιντο, καὶ τὸ πλεῖον ὑγρὸν ἀλύπως φέροιεν, ἐδέσμασί τε χαίροιεν ὑγροτέροις.

Humidioris autem, si neque sitibūdi fiant, & superabundans humidū facilè tolerent, & cibis gaudeāt humidioribus.

## SIGNA CALIDI VENTRICULI. Cap. LXII.

Ἡ δὲ θερμοτέρα φύσει γαστὴρ, πέττει μὲν ἄμεινον, ἢ ὀρέγεται, καὶ πολὺ μᾶλλον ὅσα σκληρὰ καὶ δυσαλλοίωτα. διαφθείρεται γὰρ ἐν αὐτῇ τὰ εὐαλλοίωτα, χαίρουσα

Calidior verò natura uētriculus, melius quidē cōcoquit, q̄ appetat, & multo magis quæcunq; dura sunt, & non facilè alterationē suscipiūt. nā quæ facilè alterantur in ipso corrūpuntur, gau-

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 532 sur 669

©BIU Santé



ρουσα δὲ τοῖς θερμοῖς ἐδέσμασί τε καὶ πόμασιν, οὐδ' ὑπὸ τῶν ψυχρῶν οὐδὲν βλάπτεται, κατά γε τὴν ἔμμετρον χρῆσιν.

detéq; calidis potibus, ac cibis: neq; à frigidis ullam percipit noxam: si modice ipsis utatur.

## SIGNA FRIGIDI VENTRICULI. Cap. LXIII.

Ἡ δὲ ψυχροτέρα φύσει γαστὴρ, ὀρέγεσθαι μὲν ἀγαθὴ, πέψαι δὲ οὐκ ἀγαθὴ, καὶ μάλιστα ὅσα δυσαλλοίωτα καὶ ψυχρὰ τῶν ἐδεσμάτων ἐστίν. ὀξύνεται γοῦν ἐπιμὰς ἐν αὐτῇ, διὰ τοῦτο καὶ ὀξυρεγμιώδης ἐστὶν ἡ τοιαύτη γαστὴρ, καὶ χαίρει μὲν τοῖς ψυχροῖς. βλάπτεται δὲ ῥᾳδίως ἀμετρότερον χρησαμένη, οὕτως δὲ καὶ τῶν ἔξωθεν

Frigidus uerò natura uentriculus, ad appetendum quidem plurimum uiget, ad concoquendum autem minimè, tales præsertim cibos qui frigidi sunt, & nō facilè alteratione suscipiūt. Cito itaq; in ipso accescunt, atq; ideò aridis eructationibus talis uentriculus plurimū abūdat, et gaudet quidē frigidis, sed facilè ab eorū usu immodico offēditur, ita & ea quæ extrin-

©BIU Santé



ἔξωθεν αὐτῇ προσπιπτόντων ψυχρῶν, οὐ φέρει τὴν πολυχρόνιον ὁμιλίαν, ὥσπερ οὐδ᾽ ἡ θερμὴ τῶν θερμῶν. αἱ μέντοι διὰ νόσον ἐν τῇ γαστρὶ δυσκρασίαι, ταύτῃ διαφέρουσι τῶν ἐμφύτων, ἢ τῶν ἐναντίων ἐπιθυμοῦσιν, οὐ τῶν ὁμοίων ὥσπερ αἱ σύμφυτοι.

*ſecus frigida occurſant, nequit tolerare, quẽadmodum neq; calidus, calida. Malæ uerò temperaturæ quæ morbi ratione uẽtriculum occupãt, hoc differũt ab his quæ naturales exiſtunt, quoniã contraria, nõ autem ſimilia appetunt, quemadmodum naturales.*

## DE MALIS TEMPERATVRIS in uẽtriculo cõiugatis. Cap. LXIIII.

Αἱ δὲ κατὰ συζυγίαν ἐν τῇ γαστρὶ δυσκρασίαι, διὰ τῆς τῶν ἁπλῶν γνωρισθήσονται συνθέσεως, ἀκριβῶς δὲ χρὴ προσέχειν τὸν νοῦν ταῖς εἰρημέναις, διακρίνοντας αὐτὰς τῶν ῥηθησομένων. οὐ μόνον

*Malæ aũt tẽperaturæ in uẽtriculo coniugatæ, ex cõpoſitione ſimplicium cognoſcũtur. Oportet autẽ eas quæ iã ſunt dictæ diligẽter aduertere, eaſdẽ ab his quæ dicẽtur, diſtinguẽtes. Non ſolum*

©BIU Santé



μόνον γὰρ ἡ κοιλία διψώδεις τε καὶ ἀδίψους ἐργάζεται, καὶ ψυχροῦ καὶ θερμοῦ πόματος ὀρεκτικούς, ἀλλὰ καὶ τὰ κατὰ θώρακα σπλάγχνα, καρδία καὶ πνεύμων. ἀλλ᾽ οἵ γε διὰ τὴν τούτων θερμότητα διψῶντες, εἰσπνέουσί τε πλέον, ἐκφυσῶσί τε μακρόν, αἰσθανόνταί τε κατὰ τὸν θώρακα τοῦ καύματος, οὐχ ὥσπερ οἱ διὰ τὴν γαστέρα κατὰ ὑποχόνδρια. καὶ μὲν δὴ πίνοντες, οὐκ εὐθέως ἡσυχάζουσι, καὶ τὸ ψυχρὸν πόμα ἔστιν αὐτῶν μᾶλλον τὴν δίψαν ἤπερ τὸ πολὺ θερμόν. ἀναψύχει δὲ αὐτοὺς καὶ ὁ ψυχρὸς ἀὴρ

*ſolum enim uentriculus ſitibũdos, & minimè ſitientes facit, & frigidi, calidi ue potus appetentes, ſed ea quoq; uiſcera quæ in thorace ſunt: ut cor, & pulmo, ſed qui ob horum ſitiunt caliditatem plus inſpirant, et longius expirant, atque æſtũ in thorace ſentiũt, non ſicuti qui uẽtriculi ratione in ilijs caliditatem patiũtur, et cũ potauerint non ſtatim ſedatur ſitis, et magis cũ frigidũ hauſerint, q̃ calidũ nimis. Refrigerat autem eoſdem, & frigidi aëris inſpiratio,*

©BIU Santé



εἰσπνεομένος, ὁ δὲ μὲ ἐπικουφίζων τοὺς ἐκ γαστρὸς διψώδεις. ὥσπερ δὲ καὶ οἱ ἐναντίως ἔχοντες, ἀπὸ τῆς ψυχρᾶς εἰσπνοιᾶς, αἰσθητῶς ἀνιῶνται.

inſpiratio, quæ nihil eos iuuat qui uentriculi ratione ſunt ſitibundi, ita & hi qui contrario modo ſe habent à frigida inſpiratione ſenſibilem ſentiunt affectum.

## SIGNA PVLMONIS FRIGIDI. Cap. LXV.

Καὶ μέγιστόν ἐστι τὸ γνώρισμα τῆς ἐν πνεύμονι ψυχρότητος. ὥσπερ δὲ εἰσπνέοντες ψυχρὸν αἰσθάνονται σαφῶς ἀνίας τε καὶ ψύξεως, οὕτως τὸ θερμὸν αὐτῆς ἐστι φίλον, ἀλλὰ καὶ φλεγματικὰ περιττώματα χρεμπτόμενοι, καὶ μετὰ βηχὸς ἀναπτύουσιν.

Et hoc maximum ſit frigidi pulmonis indicium: ut uerò frigidũ inſpirantes manifeſte dolorem ſentiunt & frigiditatem, ita & caliditas eſt ipſis amica, ſed et pituitæ excrementa cum ſcreatu, et tuſſi expuũt.

## SIGNA PVLMONIS SICCI. Caput LXVI.

Αἱ ξηρότητες δὲ τοῦ πνεύμονος

Pulmonis autem ſiccitates

©BIU Santé


πνεύμονος ἀπέριττοί τε εἰσι, καὶ καθαραὶ τῷ φλέγματι, καθάπερ αἱ ὑγρότητες ἀλαμπῆ μὲν ἐργάζονται, καὶ βραγχώδη τὴν φωνήν. ἐντρέχει δ' αὐτοῖς περιττώματα, μεῖζόν τε καὶ ὀξύτερον φθέγγεσθαι προελομένοις.

citates excrementis uacant, & pituita, & uocē clarā efficiūt quēadmodū humiditates obscuram reddunt, ac raucam: & cum uehementius, aut acuratius loqui studuerint, tunc intercidunt excrementa.

## DE VOCE. CAP. LXVII.

Οὐ μὴν αὐτό γε τὸ τῆς φωνῆς μέγεθος ὑπὸ τῆς θερμότητος αὐτῆς, ὥσπερ οὐδ' ἡ σμικρότης ὑπὸ τῆς ψυχρότητος γίνεται. ἀλλὰ τὸ μὲν εὐρύτητι τῆς τραχείας, ἀρτηρίας, ἐκφυσήσει τε σφοδροτέρᾳ. σμικρότης δὲ τοῖς ἐναντίοις

Non tamen ipsa uocis magnitudo à caliditate, sicuti neq; paruitas à frigiditate inest, sed altera quidē asperæ arteriæ latitudinē sequitur, et uehemētiorē efflatū, paruitas uerò à contrarijs aduenit

©BIU Santé



ἀκολουθεῖ, ὥστε οὔτε διὰ παντὸς, οὔτε πρώτως, ἀλλὰ κατὰ συμβεβηκός τε καὶ μόναις ταῖς συμφύτοις κράσεσι, οὐ ταῖς ἐπικτήτοις ἕπεται τὸ τῆς φωνῆς μέγεθός τε καὶ ἡ σμικρότης. ὅτι γὰρ τοιάδε τὰ ὄργανα διὰ τὴν κρᾶσιν ἐγένετο, τοῖς τοιούτοις δὲ ἕπεται τοιάδε φωνὴ, ἐκ φωνῆς ἔνεστι περὶ τῆς συμφύτου κράσεως συλλογίζεσθαι.

aduenit causis. Quare neq; semper, neque primum, sed ex accidenti, & solas naturales temperaturas non autē aduentitias uocis magnitudo, aut paruitas sequitur. Quoniā etenim talia instrumenta temperaturæ ratione sunt facta, ad hæc consequitur huiusmodi uox. Idcirco cōtingit ex uoce de naturali temperatura ratiocinari.

## DE LENI, ET ASPERA uoce. Cap. LXVIII.

Καὶ γὰρ ἡ λεία φωνὴ, λειότητι τῆς ἀρτηρίας ἕπεται, καθάπερ ἡ τραχεῖα τραχύτητι. λειότης μὲν οὖν ἀρτηρίας συμμετρίᾳ κράσεως ἕπε-

Nam & lenis uox, arteriæ lenitatem cōsequitur, sicuti & asperitatē. Lenitas igitur arteriæ moderatā sequitur temperaturam

©BIU Santé


ται, τραχύτης δὲ ξηρότητι. τραχύτης μὲν γὰρ ἐστὶν ἀνωμαλία, κατὰ ξηρὸν σῶμα, τὴν δὲ ἀρτηρίαν ἐργάζεται σκληρὰν μὲν, ἡ τῶν ὁμοιομερῶν αὐτῆς μορίων ξηρότης. ἀνώμαλον δὲ ἡ τῆς παρεσπαρμένης τούτοις ὑγρότητος ἔνδεια.

peraturam, asperitas uerò siccitatem. Asperitas enim fit ab inæqualitate duri corporis: Arteriam uerò duram, similarium partium ex quibus constat, siccitas: inæquale uerò dispersæ in eisdem humiditatis defectus.

## DE VOCE ACVTA. CAP. LXIX.

Κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔτε ἡ ὀξεῖα φύσει φωνὴ χωρὶς στενότητος φάρυγγος, οὔθ᾽ ἡ βαρεῖα χωρὶς εὐρύτητος δύναται γενέσθαι. στενότης μὲν οὖν, ἐμφύτου ψυχρότητος ἔκγονος ὤν, εὐρύτης δὲ θερμότη-

Eodem modo, neque acuta natura uox sine angustia faucium, neque grauis sine latitudine fieri potest. Angustia igitur ab insita, atq; innata nascitur frigiditate, latitudo autem à cali

©BIU Santé



τος. ἀνάλογον δὲ ταῖς φυσικαῖς διαφοραῖς τῶν φωνῶν, αἳ κατὰ πάθος ἀποτελοῦνται, γνωρίσματα καὶ αὗται γινόμεναι τῶν ἐργαζομένων αἰτίων, ὑπὲρ ὧν αὐτάρκως ἐν τοῖς περὶ φωνῆς διώρισται. Τὰ δ᾽ ἄλλα μόρια τοῦ ζώου τὰ ἐντὸς, ἀμυδρὰ τῆς κράσεως ἔχει τὰ γνωρίσματα. πειρατέον δὲ ὅμως αὐτὰ, διά τε τῶν ὠφελούντων καὶ βλαπτόντων διαγινώσκειν, ἔτι τε κατὰ τὰς τῶν φυσικῶν δυνάμεων ἐνεργείας. εἴρηται δ᾽ ἐν τῷ τρίτῳ περὶ τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ἥτις ἑκάστης δυνάμεως ἀρετὴ

ditate. Differentijs igitur naturalium uocũ hæ quæ ex affectu aliquo fiunt, sunt proportionales quæ & ipsæ indicia sunt causarum à quibus oriuntur, de quibus in libris de uoce sufficiẽter distinxi. Reliquæ uerò partes animalis interiores, exilia habẽt temperaturæ indicia. Tentandũ tamen ea ex iuuãtib. atq; nocẽtibus agnoscere: ac præterea naturalium potentiarũ operationes. Dictũ uerò est in tertio de causis accidentiũ, q̃ cuiusq; potẽtiæ uirtus,

©BIU Santé


τῇ τε καὶ κακίᾳ ἡ προηγουμένη κρᾶσις ἐστίν. τὰ μὲν οὖν τῶν κράσεων γνωρίσματα, καὶ ἤδη λέλεκται.

tus, & uitium temperatura principalis existat. Temperaturarum itaq; indicia iam explanauimus.

## SIGNA NATVRAE INSTRVmentariæ. Cap. LXX.

Τὰ δὲ περὶ τὸ μέγεθος ἤτοι τὴν διάπλασιν, ἢ τὸν ἀριθμὸν, ἢ τὴν θέσιν ἐσφαλμένα. ὅσα μὲν ὑποπίπτει ταῖς αἰσθήσεσιν, γνωρισθῆναι ῥᾴδιον. τῶν δ' οὐχ ὑποπιπτόντων, τὰ μὲν δύσγνωστα, τὰ δὲ ἄγνωστά ἐστιν. τὸ μὲν οὖν τῆς κεφαλῆς μέγεθός τε καὶ σχῆμα, καὶ σὺν αὐτῇ τοῦ ἐγκεφάλου, πρόδηλόν τέ ἐστι, καὶ πρόσθεν

Circa magnitudinem uerò uel formationem, uel numerũ, uel situm, quæcunque quidem sen sib. subijciuntur errata, cognitu facilima sunt: quæ autem sensu percipi nequeunt, quædã cognitionem habent difficilem, quædam uerò facilẽ. Capitis igitur magnitudo, ac figura, & cerebri simul in propatulo sunt, et de his antea diximus:

©BIU Santé



θεν εἴρηται. κατὰ ταυτὰ δὲ καὶ τὸ τοῦ θώρακος· οὕτως δὲ καὶ ὅσα καθ' ὠμοπλάτας, ἢ ὤμους, ἢ βραχίονας, ἢ πήχεις, ἢ ἄκρας χεῖρας, ἢ ἰσχίον, ἢ μηρὸν, ἢ κνήμην, ἢ πόδας, οὐ χαλεπὸν διαγνώσκειν. ἄν τε κατὰ τὴν διάπλασιν ἐσφαλμένον ᾖ τι τῶν τοιούτων, ἄν τε κατὰ τὸ μέγεθος, ἄν τε κατὰ τὸν ἀριθμὸν, ἢ τὴν σύνθεσιν τῶν συντιθέντων αὐτά. πρόδηλοι δὲ καὶ αἱ τῆς ἐνεργείας ἐφ' ἑκάστου βλάβαι. τὰ δ' ἐντὸς τοῦ σώματος, οὐ πάντα διαγνωσθῆναι δυνατόν.

Γαστέρα

diximus: sic & quæ thoracis sunt, & quæcunq; ad scapulas, & humeros, uel brachia, uel cubitos, uel extremas manus, uel coxas, uel fœmora, uel tibias, uel pedes attinent nõ est difficilè agnoscere, siue secundum formationem, siue secundum magnitudinẽ, ex his aliquid non rectè se habeat, siue secundum numerum, uel partium, ex quibus confiant compositurãm, singularũ etiam operationis detrimẽta facilè patent. Quæ autem intra corpus sunt, non omnia possunt agnosci.

DE

©BIU Santé


## DE VENTRICVLO. Caput LXXI.

Γαστέρα μὲν γάρ τινος οὕτω σμικράν τε καὶ στρογγύλην καὶ προπετῆ κατὰ τὸ ὑποχόνδριον ἐθεασάμην, ὡς ἐναργῶς φαίνεσθαι κατὰ περιγραφὴν ἰδίαν, ὁρῶσί τε καὶ ἁπτομένοις.

Cuiuſdam enim uentriculum adeò paruum ac rotũdum, ac pronum ſecundum ilia ſitum habentem inſpexi, ut manifeſte ex circũſcriptione propria, et uidentib. & tangẽtibus appareret.

## DE VESICA. CAP. LXXII.

Οὕτως δὲ καὶ κύστιν τινὸς ἐθεασάμην, ἐγκειμένην τε καὶ σμικράν, ὥστε εἴποτε χρονίσειε περὶ τὴν ἔκκρισιν τοῦ οὔρου, ὄγκος ἐφαίνετο περιγεγραμμένος ἐναργῶς. οὐ μὴν τῶν ἄλλων τι τῶν

Sic & cuiuſdam ueſicam cõtigit intueri, ita expoſitam, ac paruam, ut ſi quando urinam tardius excerneret, tumor quidem circunſcriptus manifeſte cerneretur. Non tamen aliud ex interioribus

©BIU Santé


τι τῶν ἐντὸς ἐναργῆ διάγνωσιν παρέσχε μοί ποτε. πειρᾶσθαι μέντοι χρὴ διαγινώσκειν ὡς οἷόν τε ὅτι μάλιστα, ἀρετήν τε καὶ κακίαν αὐτῶν, εἰ καὶ μὴ κατ' ἐπιστήμην βεβαίαν, ἀλλ' οὖν κατὰ στοχασμόν τινα τεχνικόν, οἷον εἰ οὕτως ἔτυχεν ἐπὶ ἥπατος.

*terioribus quidquam mihi unquàm manifestum præbuit indicium. Tentare autẽ oportet quàm maximè fieri potest uirtutem ipsorum ac uitiũ: & si nõ certißima scientia, artificiosa saltẽ coniectura comprehẽdere, ueluti, exempli gratia, in hepate.*

## DE HEPATE. CAP. LXXIII.

Εἶδον γάρ τινας ἤδη καὶ πολλούς, στενὰς μὲν φλέβας ἔχοντας, ἄχρουν δὲ τὸ σύμπαν σῶμα, καὶ εἰ βραχὺ πλείω προσυνέγκαντο τροφῆς, καὶ μᾶλλον εἰ φυσώδη, καὶ παχεῖα καὶ γλίσχρα. τοὺς μὲν ὥσπερ

τινος·

*Vidi enim aliquos, & quidem quàmplures quibus uenæ erant angustæ, & totum corpus colore priuatum, quòd si plusculum cibi assumpsissent qui præsertim flatibus excitãdis aptus esset, & crassus, ac tenax: nonnulli quidem*

*ueluti*

©BIU Santé


τινος βάρους ἐγκειμένου καὶ κρεμαμένου, κατὰ τὸ δεξιὸν ὑποχόνδριον αἰσθανομένους ἐν βάθει, τοὺς δὲ τάσεως ὀδυνώδους. τούτων οὖν εἰκὸς ἐστὶ καὶ μικρὸν εἶναι τὸ ἧπαρ, καὶ στενὸν ταῖς διεξόδοις.

*ueluti pōdus quoddam insidēs atq; suspensum in profundo dextræ illorum partis sentiebāt: nonnulli uerò quandam cum dolore tentionem. In his quidem uerisimile est hepar esse paruū, atque angustos meatos habere.*

## DE HOMINE PITVITOSO, VOmente bilem. Cap. LXXIIII.

Ἕτερον δὲ ἐθεασάμην φλεγματικὸν μὲν ὅλην τὴν ἕξιν, ἐμοῦντα δὲ ἑκάστης ἡμέρας χολὴν ὠχράν. ἔγνων οὖν χρῆναι καὶ τὰ διαχωρήματα αὐτοῦ θεάσασθαι, καὶ ὀλιγοστὸν εἶχε χολῆς. ἐτεκμηράμην οὖν τούτῳ τὸν τὸ χολῶδες

*Alterum uidi cuius totus habitus pituitā præ se ferebat, quotidie tamen bilem ruffam euomebat. Censui igitur inspicienda alui excremēta, in quibus minimū bilis apparebat. Quare coniectura quadam comprehēdi eū meatum qui biliosum egurgitat humorem*

©BIU Santé


δες ὑγρὸν ἐξοχετεύοντα πόρον, οὐ μικρὰν ἑαυτοῦ μοῖραν εἰς τὸν πυλωρὸν τοῦ γαστρὸς ἀποπέμπειν, ὡς ἐπ' ἐνίων φαίνεται ζώων. ἐξ ὧν δῆλον, ὡς ἐν τοῖς ἀδήλοις τῇ αἰσθήσει μεγάλα συντελεῖ πρὸς διάγνωσιν, ἥ τε τῶν ἐξ ἀνατομῆς φαινομένων γνῶσις, ἥ τε τῶν ἐνεργειῶν τε καὶ τῶν χρειῶν εὕρεσις. ὅστις οὖν διαγνωστικὸς εἶναι βούλεται, τῶν ὡς εἴρηται νῦν ἐσφαλμένων σωμάτων, ἐν ταῖς ἀνατομαῖς αὐτὸν γυμναστέον ἐστὶ, κἀν ταῖς τῶν ἐνεργειῶν τε καὶ χρειῶν εὑρέσεσι. γέγραπται δὲ ὑπὲρ πάντων ἰδίᾳ καθ'

humorem nõ minimam eiusdẽ partem ad imum uẽtriculi locũ, quẽ Graeci pyloron, id est, ostiarium uocant, effundere, ut in quibusdam apparet animalibus. Ex quibus id cõstat, quod plurimũ ad eorũ quæ latent sensum, cõfert cognitionẽ, ea quæ ex sectionis inspectione habetur peritia, & operationũ, atq; utilitatum inuẽtio. Quicunq; igitur facultatẽ dignoscendi huiuscemodi corpora quæ ita lapsa sunt cõsequi cupit: oportet ipsum in sectiõibus, ac in operationum, atque utilitatum inuentionibus exercitari. Scripsimus uerò de omnib. seorsum

©BIU Santé


καθ' ἑτέρας πραγματείας, ὑπὲρ ὧν περὶ τελευτὴν τοῦ λόγου παντὸς εἰρήσεται, χάριν τοῦ γινώσκειν τοὺς φιλομαθεῖς ἑκάστου ὧν ἂν ὀρεχθῶσι μαθεῖν, ἐκ ποίας μάλιστα πραγματείας ἀναλέγεσθαι χρή. ἀλλὰ περὶ μὲν τούτων ἅλις.

*ſeorſum in tractatibus alijs, de quibus in fine libri omnino ꝓpoſuimus facere mentionem: ut diſcendi cupidi intelligāt quæcūq; diſcere optauerint, ex quonam poßint haurire tractatu, ſed tamen de hiſce ſatis.*

## QVOMODO COGNOSCANTVR *corpora ægrotantia.* Cap. LXXV.

Ὅσα δὲ ἐν τῷ νῦν ἐστι νοσώδη σώματα, τουτέστιν ὅσα νοσεῖ, διαγινώσκειν χρὴ καὶ ταῦτα, τοῖς μὲν αἰσθήσεσιν ὑποπίπτοντα τῇ μεταβολῇ τῶν κατὰ φύσιν αὐτοῖς ὑπαρχόντων, ἐν μεγέθει, χροιᾷ, σχήματι, καὶ

ἀριθμῷ

*Quæcunque uerò ut nūc inſalubria ſunt, hoc eſt, quæ iam ægritudinem patiuntur, dignoſcere & hæc ipſa oportet. Quæquidem ſubijciūtur ſenſui, ex eorum quæ ipſis inſunt, ſecundum naturam permutatione, in magnitudine,*

Ll

*colore,*

©BIU Santé



ἀριθμῷ, καὶ θέσει, καὶ τῇ κατὰ σκληρότητα καὶ μαλακότητα, καὶ θερμότητα, καὶ ψυχρότητα διαφορᾷ. μὴ φαινομένη δὲ, καθόλου μὲν φάναι ταῖς βλάβαις τῶν ἐνεργειῶν, ἢ τοῖς ἐκκρινομένοις, ἢ ταῖς ὀδύναις, ἢ τοῖς ὄγκοις, τοῖς παρὰ φύσιν, ἢ τισὶν τούτων, ἢ πᾶσι.

colore, figura, & numero, & situ, & ea quæ est secundum duritiem, & mollitiem, & frigiditatem, & caliditatē differentia. Quæ aūt uisum effugiunt, ut summatim dicam, ex operationum læsionibus, aut his quæ excernuntur, aut doloribus, aut tumoribus, præter naturam, aut horum quibusdā, uel omnibus.

## SIGNA CEREBRI PATIENTIS. Cap. LXXVI.

Κατὰ μέρος δὲ, τὰς μὲν κατὰ τὸν ἐγκέφαλον νοσώδεις διαθέσεις, ἢ τοῖς τῆς παραφροσύνης εἴδεσιν, ἢ ταῖς τῶν αἰσθήσεων, ἢ φαντασιῶν βλάβαις, ἢ

Particulatim aūt quæ quidem sunt in cerebro ægræ dispositiones, aut demētiæ speciebus, aut sensuum, uel imaginationum læsionibus, aut

actuum,

©BIU Santé



ταῖς τῶν προαιρετῶν, ἢ τοῖς ἐκκρινομένοις δι' ὑπερῴας, καὶ ῥινός, καὶ ὤτων ἢ ταῖς τῶν κατ' αὐτὸν ὀδυνῶν διαφοραῖς.

actuum qui secundū electionem fiunt, aut ex his quæ excernūtur, per palatum, uel nares, uel aures, aut horū, qui ei dolores eueniūt differentijs.

## SIGNA CORDIS PATIENTIS. Cap. LXXVII.

Τὰς δὲ κατὰ τὴν καρδίαν, ἔκ τε τῶν τῆς δυσπνοίας εἰδῶν, καὶ παλμῶν τῶν κατ' αὐτήν, ἔτι τε τῶν κατ' αὐτὴν σφυγμῶν, καὶ ταῖς ἀρτηρίαις, ὀξυθυμίας τε καὶ ἀθυμίας, καὶ πυρετῶν, καὶ καταψύξεων, καὶ τῶν ἐν τῷ χρώματι διαφορῶν, ἀλγημάτων τε τῶν κατ' αὐτήν.

Quæ uerò in corde fiunt, ex difficilis anhelitus speciebus, & tremulis motibus qui ipsis contingunt, ex pulsibus quoq; eius, atque arteriarum, ab excandescendi celeritate, aut tarditate, à febribus, & refrigerationibus & in colore differentijs, ac eis qui ipsi aduenīūt doloribus.

©BIU Santé



## SIGNA HEPATIS PATIENtis. Cap. LXXVIII.

Τὰς δὲ καθ' ἧπαρ, ἔκ τε τῆς τῶν χυμῶν ἐνδείας τε καὶ πλεονεξίας, ἐκτροπῆς τε τῆς εἰς τὸ παρὰ φύσιν καὶ ἀχροίας, καὶ προσέτι τῆς κατὰ τὴν ἀνάδοσιν, ἢ θρέψιν, ἢ τὴν τῶν περιττωμάτων ἔκκρισιν ὑπαλλαττομένοις, ἀλλὰ καὶ τοῖς βάρεσι τοῖς κατ' αὐτὸ, καὶ ὄγκοις, καὶ ἀλγήμασιν, οὐ τοῖς ἐγχωρίοις μόνον, ἀλλὰ καὶ κατὰ συμπάθειαν ὅσα γίνεται, κατά τινα δυσπνοίας ἰδέαν καὶ βηχός.

Οὕτως

Quæ autem in hepate, ex defectu humorũ, atque abũdantia, & ad id quod præter naturã eucrsione, & colore malo, ac præterea ex permutatiõe naturæ, in his quæ ad alimenti ductionem, aut superfluitatum attinent excretionem: sed & ex grauitatibus, & tumoribus & doloribus, nõ modo his qui in eo ortum habent, uerum & illis qui compatiendi ratione proueniunt, quemadmodũ in aliqua, uel spiritus grauis, uel tussis specie.

SIGNA

©BIU Santé



## SIGNA VENTRICVLI PAtientis. Cap. LXXIX.

Οὕτως δὲ καὶ κατὰ τὴν γαστέρα, οἷς περὶ τὴν πέψιν τε καὶ τὴν ὄρεξιν ὑγρᾶς, ἢ ξηρᾶς προσφορᾶς, ἢ περιττωμάτων ἔκκρισιν ἁμαρτανομένοις. ὡσαύτως δὲ λυγξὶν, ἐρυγαῖς, ναυτίαις, ἐμέτοις, αὐταῖς τε τῶν ἐμουμένων ταῖς ἰδέαις.

Sic & uẽtriculi affectus agnoscitur, ubi in cõcoctione, & appetitu humidi, uel sicci alimenti. uel superfluitatũ excretiõe delinquitur. Ita etiã, ex singultibus, cructuationibus, nauseis, uomitibus, & ipsis eorum quæ euomũtur speciєb.

## SIGNA THORACIS PATIENtis. Cap. LXXX.

Καὶ μέν γε καὶ ὅσα κατὰ θώρακα, δυσπνοίαις, βηξὶν, ὀδύναις, ταῖς κατ' αὐτὸν, τῇ τῶν ἀναβηττομένων διαφορᾷ, καὶ κατὰ τὴν τραχεῖαν ἀρτηρίαν νοσήματα, δυσπνοιά τε καὶ βὴξ, ἤ τι κατὰ τὸν τόπον ὀδύνη,

Ita & thoracis agnoscuntur affectus ex spirãdi difficultatib. tußib. & doloribus qui in ipso fiũt, & ex corũ quæ expuũtur differẽtia. Sic et asperæ arteriæ ægritudines, difficiles anhelitus, & dolor in loco, &



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 551 sur 669

©BIU Santé



ὀδύνη, τά τε ἀναπτυόμενα, καὶ αἱ τῆς φωνῆς βλάβαι γνωρίζουσιν. ἀνάλογον δὲ κἀπὶ τῶν ἄλλων μορίων ἁπάντων, ἐξ ὄγκου, καὶ ὀδύνης, καὶ βλάβης ἐνεργειῶν, ἔτι τε τῶν ἐκκρινομένων διαφορᾶς αἱ διαγνώσεις ἔσονται. ὄγκους μὲν δὴ τοὺς παρὰ φύσιν, ἐν φλεγμοναῖς, καὶ σκίῤῥοις, καὶ οἰδήμασιν ἐξεταστέον. ἄλγημα δὲ καθ' ὃν ἂν ἐρείδῃ τόπον, ἤτοι συνεχείας λύσιν, ἢ ἀλλοίωσιν ἀθρόαν ἐνδείκνυται. λύεται μὲν οὖν ἡ συνέχεια τομῇ, καὶ διαβρώσει, καὶ θλάσει, καὶ τάσει, ἀλλοιοῦνται δὲ ἡ οὐσία θερμότητι, καὶ ψυχρότητι,

*quæ expuũtur, & uocis offensiones ostendunt. Secũdum uerò eandem proportionẽ, & in alijs omnibus accidit partibus: nam ex tumore, dolore, & operationũ læsione, & excrementorũ differentia, sumẽtur indicia. Excrescentiæ autem non naturales, in inflammationibus, durisque, ac laxis tumoribus, sunt explorandæ. Dolor autem quemcunque obsederit locũ, aut continuitatis solutionẽ, aut subitã alterationem ostẽdit. Soluitur aũt continuitas incisione, excesione, tractione, & tensione. Alteratur uerò substantia à caliditate, frigiditate*

©BIU Santé



ψυχρότητι, καὶ ξηρότητι, καὶ ὑγρότητι. βλάπτεται δὲ ἡ ἐνέργεια τριχῶς, ἢ ἀῤῥώστως, ἢ πλημμελῶς, ἢ μηδ᾽ ὅλως γιγνομένη.

frigiditate, humiditate, ſiccitate. Læditur autẽ operatio tripliciter, aut quia uix, aut quia uitioſe, aut quia nullo modo fit.

## DE DIFFERENTIA EORVM *quæ excernuntur.* Cap. LXXXI.

Ὅσα δ᾽ ἐκκρίνεται, τὰ μὲν ὡς μόρια τῶν πεπονθότων, τὰ δ᾽ ὡς περιττώματα, τὰ δὲ ὡς ἐν αὐτοῖς περιεχόμενα, κατὰ φύσιν ἕκαστον ἔνδειξιν ἰδίαν ποιήσεται. λέλεκται δὲ περὶ τῶν τοιούτων ἁπάντων ἐπὶ πλέον, ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ. μηδενὸς αὐτὴν ὑπὸ μέθοδον

Quæcunque autem excernuntur, nonnulla quidem ſunt ueluti partes patiẽtium locorum: nonnulla uerò tãquàm excrementa. Quæ uerò in ipſis naturaliter cõtinentur, ſingula propriam facient indicationem. Dictũ eſt autem plenius de hiſce omnibus in tractatu de membris paßis, quem nullus ante

©BIU Santé


μέθοδον τῶν ἔμπροσθεν ἀγαγόντος, ἢ τὸ τέλειον ἀποδόντος, ὥσπερ οὐδ᾽ ἄλλην οὐδεμίαν ὧν ὑπήρξαντο μὲν οἱ παλαιοί, οὐ συνετέλεσαν δέ. τὰ μὲν δὴ νοσούντων σωμάτων, ἐξ ἐκείνης τῆς πραγματείας μανθάνειν χρὴ τὰ γνωρίσματα, τῶν νοσησόντων δὲ καὶ τῶν ὑγιασθησομένων, ἐκ τοῦ δὲ τῆς μεθόδου.

ante nos, aut in artē redegit, aut ad absolutam perfectionem deduxit: quēadmodū & in omnibus alijs euenit, quibus initiū quidē aliquod ab antiquis est datū, nō tamē absolutum est opus. Aegrotātiū itaq; corporū ex tractatu illo indicia sunt sumenda: corū aūt qui in ægritudinē lapsuri sunt, et qui sanitati restituēdi, præsens doctrina complectitur.

## SIGNA FVTVRAE AEGRITVdinis. Cap. LXXXII.

Τὰ μὲν οὖν τῶν νοσησόντων, ἐν τῷ μεταξὺ τὴν ἰδέαν ἐστι, τῶν τε τοῖς ὑγιαίνουσι καὶ τοῖς νοσοῦσι συμβαινόντων. κατὰ φύσιν μὲν γὰρ ἅπαν-

τα

Eorum igitur indicia quibus ægritudinis periculum imminet, mediam formam habēt inter ea quæ sanis, et quæ ægrotantibus eueniunt: si quidem sanis omnia

secundum

©BIU Santé



τὰ τοῖς ὑγιαίνουσιν ὑπάρχει, παρὰ φύσιν δὲ, τοῖς νοσοῦσιν καθόσον νοσοῦσιν. ἐν μεθορίῳ δὲ τούτων ὄντα τὰ δηλωτικὰ τῶν νοσωδῶν. ἔνια μὲν ἐκ τοῦ γένους ὑπάρχοντα τῶν κατὰ φύσιν, ἀλλὰ ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς ὑπηλλαγμένα. τινὰ δὲ ἐκ τῶν παρὰ φύσιν μὲν, ἀλλὰ μικρότερα τῶν ἐν ταῖς νόσοις. καὶ διὰ τοῦτο καὶ αἱ διαθέσεις μὲν αὗται τῶν σωμάτων, ὅσα νοσήσειν ὑπέδειξα, τῶν οὐδετέρων εἰσὶ, καὶ τὰ δηλοῦντα αὐτὰς σημεῖα. πρώτως μὲν γὰρ ταῦτα ὑγιείαν δηλοῖ, δευτέρως

secūdum naturā insunt, præter naturā uerò ægrotantibus. In confinio autē horum ea quæ sunt corporū neutrorū indicia, quorū nōnulla quidem sunt ex eorū genere quæ secundum naturam, sed uel qualitatib. uel quātitatibus, uel tēporib. permutata: quædam autem ex his quæ præter naturam, ac minora his quæ ægritudinibus adsunt. Atque idcirco hæ quidem corporū dispositiones, quæ in ægritudinem casura monstraui, sunt ex neutrorū genere, atq; una ea quæ ipsa indicant signa. Primo enim hæc sanitatem ostendunt, secundo

ρως δὲ τὰς νόσους, καὶ γίνεται τὰ αὐτὰ σημεῖα κατὰ τὴν πρός τι σχέσιν, οὐδέτερά τε καὶ νοσώδη. τὰ μὲν τὴν ἤδη διάθεσιν δηλοῦντα, οὐδέτερα, τὰ δὲ τὴν ἐσομένην προδηλοῦντα, νοσώδη, κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ὅσα τοῖς νοσοῦσιν ἐπιφαίνεται σημεῖα σωτήρια. λεχθήσεται μὲν ὑγιεινά, διότι τὴν ἐσομένην ὑγείαν προδηλοῖ· λεχθήσεται δὲ καὶ νοσερά, καθόσον τὴν ὑπάρχουσαν νόσον ἐνδείκνυται, καὶ δῆλον ὡς ὅσαπερ ἀμφοῖν ἐστι δηλωτικά, λεχθείη ἂν οὐδέτερα καθ' ἕν τι τῶν σημαινομένων τῆς οὐδετέρας φωνῆς. οὐδὲν

autem ægritudinem: & fiunt eadem signa secundum ad aliquid habitudinem, neutra, & insalubria quæ quidem præsentē dispositionē ostendūt, neutra: quæ uerò futurā præmonstrant, insalubria. Eadē uerò ratione, & quæcūq; ægrotantibus signa salutaria apparent, dicentur quidem salubria, quia futuram sanitatem ostendunt: dicētur etiā ægra quatenus præsentem ostendunt ægritudinem. Neque in ambiguo est, quòd quæ sunt utrorumque indicatiua, neutra dicentur, secundū unum quoddam neutri uocabuli significatum. Neq; uerò

©BIU Santé



δὲ θαυμαστὸν τὰ αὐτὰ σημεῖα τοὺς τρεῖς ἔχειν λόγους ἐν διαφερούσαις σχέσεσιν, ὑγιεινά τε καὶ νοσερὰ, καὶ οὐδέτερα λεγόμενα. καθ' ἕτερον δὲ σημαινόμενον, ὅσα τοῖς ἀνακομιζομένοις ἐκ νόσων ὑπάρχει σημεῖα. λέγομεν οὐδέτερα, καθ' ὃ οἶμαι καὶ τὰ τῶν ἐν γήρᾳ. ταῦτα μὲν οὖν ἅπαντα πλείοσιν ὑποπέπτωκεν ἐννοίαις τε καὶ λόγοις. ὅσα δὲ τοῖς ἀμέμπτως ὑγιαίνουσιν ὑπάρχει, μόνῃ τῇ τῶν ὑγιεινῶν ἐννοίᾳ, καὶ ὅσα τοῖς νοσοῦσι μὴ προδηλοῦντα τὴν ἐσομένην ὑγείαν, μόνῃ καὶ ταῦτα τῇ τῶν νοσωδῶν ὑποπέπτωκεν

mirari oportet eadē signa tres in diuersis habitudinibus seruare rationes, quæ & salubria, & ægra, & neutra dicuntur. Secundum uerò alterū significatū, quæ cunque his qui à morbo referuntur insunt, signa neutra appellamus, neque in alio significato accipiūt ea quæ senibus insunt, hæc quidē omnia pluribus, et cōceptibus, & rationib. subijciūtur. Quæcūq; uerò his q̄ integra sanitate fruūtur, inter salubria tantūmodo cōputātur. Et quæcunque ægrotātibus insunt, neque futuram prænunciant sanitatem, soli & hæc ægrorum cōceptui subijciuntur.

©BIU Santé



πτωκεν ἐννοίᾳ, περὶ μὲν δὴ τούτων ἑξῆς εἰρήσεται. τὰ δὲ τῆς μελλούσης νόσου προγνωστικὰ, διέλθωμεν πρότερον. διττῆς δὲ οὔσης τῆς αὐτῶν διαφορᾶς προχειρισώμεθα πρότερον, τὰ ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς. οὐκ αὐταῖς ταῖς οἰκείαις ἰδέαις ἐξηλλαγμένα τῶν κατὰ φύσιν, οἷον ὄρεξιν σιτίων ἀποτεταμένην, ἢ ἐκλελυμένην, ἢ μὴ κατὰ τὸν συνήθηκαιρὸν, ἢ οὐ συνήθων ἐδεσμάτων, ἢ ἀπόκρισιν τῶν περιττωμάτων τῆς τροφῆς ἐλαττόνων, ἢ πλειόνων, ἢ ὑγροτέρων, ἢ σκληροτέρων. οὕτως δὲ καὶ

subijciuntur. Sed de his quidem postea dicetur, nūc quæ futuram præmonstrāt ægritudinem prius exequamur. Cum uerò sit eorū differētia duplex, prius ea pertractemus quæ quātitatib. qualitatibus tēporibus, non aūt proprijs speciebus ab eo, quod secundū naturam, euariant, ueluti ciborum appetētia intēta, uel dissoluta aut quæ non seruet tempus consuetum, aut quæ ad edulia non usitata feratur, aut excretiones cibi superfluitatum quæ aut pauciores, aut plures, aut humidiores, aut duriores existant. Sic humidorum

©BIU Santé



δὲ καὶ τῶν ὑγρῶν περιττωμάτων ἔνδεια καὶ πλεονεξία παρὰ τὸ κατὰ φύσιν, ἢ χροιᾶς, ἢ συστάσεως ἐξαλλαξις, ἢ καιροῦ κενώσεως, ἀγρυπνία τε καὶ πλείων ὕπνος, ἢ οὐκ ἐν καιρῷ τῷ συνήθει. κατὰ ταῦτα δὲ καὶ ἡ περὶ πόμα πλεῖον ἢ ἔλαττον, ἢ θερμὸν, ἢ ψυχρὸν ἐπιθυμία παρὰ τὸ συνηθες. ὥσπερ γε καὶ ἡ περὶ τὴν τῶν ἀφροδισίων χρῆσις ἄμετρος. ἢ ἄκαιρος ἐπιθυμία, ἱδρῶτες πλείους τοῦ δέοντος ἢ ἐλάττους, ὄκνος εἰς τὰς κινήσεις ἢ παρορμωμένων κινεῖσθαι, βαρύτης, ἢ ἔκλυσις ἰσχυρὰ, καταμηνίων κρύψις, ἢ πλείων ἢ ἐλάττων

humidorũ excrementorum, uel defectus, uel superabũdãtia præter cõsuetudinem naturalem, aut in colore, aut in consistẽtia uarietas aliqua, aut in tẽpore excretionis, & uigiliæ plures, ac somnus, aut non cõsueto tẽpore. Eodẽ modo potus pluris, aut paucioris, calidi, aut frigidi, insolẽs appetitus, sicuti et circa rerũ uenerearum usum immodica, aut intẽpestiua cõcupiscẽtia, et plures, aut pauciores sudores his qui sint opportuni, et ad motus torpor, aut si moueri tentauerint grauitas aut uehemẽs exolutio, mẽstruorum occultatio, uel immodica,

ἢ ἐλάττων κένωσις. οὕτω δὲ καὶ ἡ δι' αἱμορροΐδων. ἀλλὰ καὶ ἡ κατ' αὐτὴν τὴν ἐδωδήν, ἢ πόσιν, οὐχ ὁμοία τῇ πρόσθεν ἡδονή, γνώρισμά ἐστι μέλλοντος νοσήματος. οὕτως δὲ καὶ ἡ τῆς διανοίας ἀμβλύτης οὐ κατὰ φύσιν, ἢ ἐπιλησμοσύνη τίς ἀήθης, ἢ φαντασιωδέστεροι τῶν ἔμπροσθεν ὕπνοι. καὶ μὲν δὴ καὶ ἀκοὴ καὶ ὄσφρησις, καὶ ὄψις ἀμβλύτεραί τε καὶ ἀχλυωδέστεραι. καὶ ἁπλῶς εἰπεῖν, ὅσα κατὰ φύσιν ὑπῆρχε, τὰ μὲν αὐξανόμενα, τὰ δὲ μειούμενα, τὰ δὲ καιροῖς τισιν, ἢ ποσότησιν, ἢ ποιότησιν ἐξαλλαττόμενα.

modica, aut diminuta euacuatio. Sic et quae per ora uenarum, Graeci haemorrhoidas appellant, fit sanguinis effusio, sed non eadē quae prius in cibo, potuq́; uoluptas, sunt futurae indicia aegritudinis: hebetudoq́; animi nō naturalis, aut obliuio quaedā incōsueta, aut somni qui pluribus imaginationibus abundāt, q̄ prius auditus, & odoratus uisus'ue hebetiores, aut turbulentiores. Et ut simpliciter dicam, quaecunq; secūdum naturā inerāt, haec quidem augmētata, haec uero comminuta, haec uero tēporibus quibusdā, aut qualitatibus immutata.

©BIU Santé

©BIU Santé


πτόμενα. καὶ γὰρ οὖν καὶ τοῦ σώματος ὄγκος, ἐλάττων τε ἢ μείζων γενόμενος, ἐρυθρότερός τε καὶ λευκότερος, ἢ οἷον πελιδνότερος ἢ μελάντερος, ἐρυγαί τε καὶ πταρμοί, καὶ φῦσαι πλείους ἢ ἐλάττους τῶν κατὰ φύσιν. οὕτω δὲ καὶ ὅσα διὰ ῥινῶν, ἢ ὑπερῴας, ἢ ὤτων, οἷς ὁ ἐγκέφαλος ἐκκαθαίρεται ποσότησιν, ἢ ποιότησιν, ἢ καιροῖς ἐξαλλαττόμενα. ταῦτα μὲν ἅπαντα τοῦ γένους τῶν κατὰ φύσιν ἐστίν. δῆξις δὲ γαστρός, ἢ κατὰ στόμαχον, ἢ κατά τι τῶν ἐντέρων, ἢ ἐπὶ τοῖς διαχωρουμένοις, ἢ ἐμουμένοις,

mutata. Siquidē & ipsius corporis moles, aut maior, aut minor, aut magis alba, aut magis rubra, quemadmodū liuidior, aut nigrior ructusq;, ac sternutamenta, & flatus plures, aut pauciores his qui secundum naturā: sic et quæcūq; per nares, uel palatum uel aures, per quos meatus cerebrū expurgatur, uel tēporibus, uel quātitatibus, uel qualitatibus immutata. Hæc igitur omnia ex genere eorum sunt, quæ secūdum naturā morsus quoque uentris, uel in ore uētriculi, uel in aliquo intestinorum, aut cum aluus subducitur, aut cum uomitus excitatur, aut cum mingitur,

©BIU Santé



ἢ οὐρουμένοις, ἤ τις ἕτερος μέτριος πόνος, ἐκ τοῦ γένους μέν ἐστι τῶν παρὰ φύσιν. οὔπω δὲ νοσεῖν οἱ οὕτως ἔχοντες λέγονται, καθάπερ οὐδ᾽ οἱ βαρυνόμενοι τὴν κεφαλὴν, ἢ ἀλγοῦντες, ὅταν γε μηδέπω διὰ ταῦτα πρὸς τὰ συνήθη τῶν ἔργων ἐμποδίζονται. καὶ ὅ γε τοῦ νοσεῖν ὅρος οὗτός ἐστιν ἐπὶ ταῖς τοιαύταις διαθέσεσι, καὶ διὰ τοῦτ᾽ ἐν τῷ πρός τι, τὴν αὐτὴν διάθεσιν ἤδη τε νοσώδη καὶ οὐδετέραν ἐροῦμεν ἔτι. πρὸς γὰρ τὴν ῥώμην τῆς φερούσης ῥᾳδίως, ἢ νικωμένης ἤδη δυνάμεως, ἤτοι νόσος ἐστὶν, ἢ οὐδετέρα διάθεσις.

mingitur, siue aliquis alius dolor moderatus ex genere quidē existit eorum quæ præter naturam: non tamen qui ita se habent, ægrotare dicuntur, sicuti neque qui capite grauantur, aut dolent, cum nondum in consuetis impediuntur operatiōibus. Hic enim in huiuscemodi dispositionibus terminus est.

Atq; idcirco in eo quod ad aliquid, eandē dispositionē ægram atq; neutram appellabimus.

Nā pro uigore potētiæ quæ, uel facilè sustinet, uel uincitur, unaquæq; ex his, quas antea diximus, uel morb. est, uel neutra

©BIU Santé



διάθεσις ἑκάστη τῶν εἰρημένων. οὕτω δὲ καὶ ὅσα κατὰ τὰς αἰσθήσεις, οὐκ ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διενηνόχασιν, ἀλλ' ὅσα τῷ γένει παρὰ φύσιν εἰσί, καὶ ταῦτ' ἐστὶ νοσώδη σημεῖα, μέχρι περ ἂν ᾖ σμικρὰ, καὶ μηδέπω τῶν εἰθισμένων πράξεων ἀπάγειν ἱκανά. τοιαῦτα δ' ἐστὶ κατὰ μὲν τὴν γεῦσιν, ὅταν ἁλμυρᾶς, ἢ πικρᾶς, ἢ τινος ἑτέρας ποιότητος ἔμφασις ᾖ τοῖς ἐσθιομένοις τε καὶ πινομένοις ἅπασιν, ἢ καὶ χωρὶς τοῦ προσφέρεσθαί τι τοιοῦτον αὐτὸ φαίνηται χυμοῦ-τον. κατὰ δὲ τὴν ὄσφρησιν, ὅταν ἤτοι τινὸς

neutra dispositio, sic & quæcunque in sensibus: nõ in eo quod magis, aut minus inuicẽ differunt, sed eo quod toto genere sunt præter naturã. Et hæc sunt signa morborũ, donec modica fuerint, & nondũ hominẽ à cõsuetis operibus sufficiũt amouere: talia uerò sunt in gustu quidẽ, cum uel salsæ, uel amaræ, aut alicuius alterius qualitatis sapor nobis indicatur, siue in omnibus quæ bibuntur, aut mãducantur, aut præter ꝗ aliquid assumatur, saliua talis sentiatur. In odoratu autem quando alicuius unius qualitatis

©BIU Santé



αἰσθανόμεθα μιᾶς ποιότητος οὐδενὸς ὀσφρητοῦ παρόντος, ἢ καὶ προσφέροντες πλείω τε καὶ διαφέροντα, πάντων αὐτῶν ὡς ὁμοίων αἰσθανόμεθα. πολλάκις δ' οὐδ' ὅλως αἴσθησις ἡμῖν οὐδενός, ἢ δυσώδους τινὸς γίνεται, μηδενὸς παρόντος, δυσώδους. κατὰ δὲ τὴν ἀκοήν, ἦχοι καὶ ψόφοι τοῦ παρὰ φύσιν εἰσίν, ὥσπερ γε καὶ κατὰ τὴν ὄψιν ὅσα προφαίνεσθαι δοκεῖ, μέλανά τε καὶ ὀρφνώδη, καὶ κυανᾶ, καὶ πυῤῥὰ, καὶ ξανθὰ τὰ μὲν στρογγύλα, τὰ δὲ προμήκη, καὶ τὰ μὲν ἰσχνά, τὰ δὲ παχέα, παραπετᾶσθαι πάντα δοκοῦντα.

sensum habemus, nullo odore præsente, aut quũ plura & differentia narib. admouemus, omnia ueluti similia sentimus. Sæpius uerò nihil sentimus, aut aliquid fœtens, etiam si nihil adsit quod fœteat. Quantum uerò ad auditum, soni, & strepitus ad id quod præter naturam pertinent. Quemadmodũ in uisu quæcunq; ante oculos apparere credũtur nigra, & atra, & cerulea, & ruffa, & rubra, & nonnulla rotunda, nonnulla autẽ oblonga, quædam gracilia, quædã crassa oculis prætendi uidentur.

©BIU Santé



κοῦντα. κατὰ δὲ τὴν ἁπτικὴν αἴσθησιν, ὁπόταν ἀνωμαλία τις, ἢ πύκνωσις, ἢ βάρος, ἢ τάσις, ἢ ναρκώδης, ἢ ἑλκώδης διάθεσις ἐμφαίνηται καθ' ὅλην τὴν ἕξιν. ὅτας δὲ καὶ καθοτιοῦν μέρος, ἢ τάσις, ἢ θλίψις, ἢ δῆξις, ἢ βαρύτης, ὅταν σμικραί τινες ὦσι, καὶ μὴ μόνιμοι, τὴν μὲν διάθεσιν οὐδετέραν εἶναι δηλοῦσι, προαγγέλλουσι δὲ νόσον.

uidētur. In sensu autē tactus quū inæqualitas aliqua, uel spißitudo, uel grauitas, uel tentio, uel torpida, uel ulcerosa dispositio in toto corporis habitu sentitur, sic & in singulis partib. uel tentio, uel compreßio, uel morsus, uel grauitas, quādo modicæ fuerint, ac minimè firmæ, neutrā quidē dispositionem adesse demonstrant, futurā uerò ægritudinem prænunciant.

## SIGNA CORPORVM ÆGROTANTIUM. Cap. LXXXIII.

Ὅσα δὲ ἐν τοῖς ἤδη νοσοῦσιν γίνεται σημεῖα, τὰ μὲν ὑγείαν δηλοῦντα, τὰ δὲ θάνατον.

At quæ iam in ægrotantib. signa uidētur, ex quib. nōnulla salutē, nōnulla mortē portēdūt:

©BIU Santé



ὑγιεινὰ μὲν τὰ πρότε
ρα, τὰ δὲ ἕτερα τῷ γέ-
νει μὲν νοσερά, κατ' εἶ-
δος δὲ ὀλέθρια λέγε-
ται. λαμβάνεται δὲ κα
θόλου μὲν εἰπεῖν, ἔκ τε τῶν
ἐνεργειῶν ἀρετῆς τε καὶ
κακίας, κατὰ μέρος
δὲ ἐκ τῶν κατὰ μέρος
ἐνεργειῶν, ὧν τὰ μὲν
γένη πρόσθεν εἴρηται.
πρῶτον μὲν τὸ τῶν ἀρ
χῶν, δεύτερον δὲ τὸ τῶν
ἀπ' ἐκείνων πεφυκό-
των, καὶ τρίτον τῶν
ἰδίαν μὲν ἐχόντων διοί
κησιν, ἀπὸ δὲ τῶν ἀρ-
χῶν ἀποφύσεις τινὰς
δεχομένων. τὸ γὰρ
δὴ τέταρτον γένος
τῶν τότε ῥηθέντων,
ἐξ ἑαυτοῦ μὲν ἄχρηστον
εἰς τὰς προγνώσεις,
κατὰ

prima quidē salubria, al
tera uerò genere qui-
dem ægra, secundū spe-
ciem autē perniciosa di
cuntur. Sumūtur aūt, ut
uniuersaliter dicamus,
ex operationū uirtute,
ac uitijs: secundum par
tem uerò ex particula-
riū operationibus, qua-
rum genera antea dixi-
mus. Primum quidem
eorū quæ principia exi-
stunt, secundum uerò, il
lorum quæ à principijs
ortum habent, & ter-
tiū eorū quæ ex seipsis
gubernantur, à princi-
pijs autē quasdā deriua
tiones habent, quartū si
quidem genus eorū quæ
tunc diximus, ex se qui-
dem ad aliquid præno-
scendum

©BIU Santé



κατὰ συμβεβηκὸς δὲ, καὶ ἐκ τούτων ἔσται ποτὲ πρόγνωσις, ὥσπερ γε καὶ ἐκ τῶν περιττωμάτων διὰ παντός. ἐκ τούτων μὲν λόγῳ συμπαθείας, ἐκ δὲ τῶν περιττωμάτων, ὅτι πέψεως καὶ ἀπεψίας ἐν αὐτοῖς ἐστὶ σημεῖα, ὥστε οὐκ ἐνδέχεται μὴ δηλοῦν αὐτὰ διὰ παντὸς, ἤτοι τὴν φύσιν ἐπικρατεῖν τῆς ὕλης, ἢ τὴν ὕλην τῆς φύσεως, ἢ οὐδέτερον οὐδετέρου. ὑγιεινὰ μὲν σημεῖα λεχθήσεται, κρατούσης τῆς φύσεως, νοσώδη δὲ, κρατουμένης. οὐδέτερα δὲ τὰ ἐν ταῖς ἰσοσθενέσι μάχαις. τὰ μὲν δὴ τῆς ἐναργοῦς πέψεως σημεῖα, τῶν

scendum inutile est: secundum accidēs autem, et ex his aliquādo præcognitiones erūt, quemadmodum: & ex excremētis: ex his quidē compatiendi ratione: ex excremētis autem quoniā coctionis, et incoctionis signa continent. Quare fieri non potest quin omnino significent, aut naturam materiei, aut materiā naturæ, aut neutrum neutro dominari. Salubria quidem signa dicentur, natura superāte: insalubria uerò superata, neutra aūt quæ pugnas habēt æquales. Sed quæ quidē manifestā indicant coctionē ex

 ὑλωδῶν

©BIU Santé



ὑγιεινῶν ἐστι, καθάπερ καὶ τὰ τῆς ἀπεψίας νοσερά, τὰ δὲ οὔτε πέψιν, οὔτε ἀπεψίαν ἐναργῶς ἐνδεικνύμενα, τῆς τῶν οὐδετέρων ἐστὶ φύσεως. οὐδέτερα δὲ καὶ ὅσα νῦν μὲν τοῦτο, νῦν δὲ τοὐναντίον δηλοῖ, καθάπερ οἱ μελαινόμενοι δάκτυλοι. τοιαῦτα δ' ἐστὶ καὶ τὰ κριτικὰ συμπτώματα, λέλεκται δὲ ὑπὲρ ἁπάντων αὐτῶν ἐν τοῖς περὶ κρίσεως, ὥσπερ καὶ περὶ τῶν καθ' ἑκάστην ἐνέργειαν ἐν τοῖς περὶ συμπτωμάτων αἰτίοις. ἐκ τούτων οὖν χρὴ τὴν κατὰ μέρος ἅπασαν αὐτοῦ ὕλην ἀναλέγεσθαι.

salubrib. sunt: sicut quæ cruditatem, ægra: quæ uerò neq; coctionem, neque cruditatẽ ostendũt, ex neutrorum sunt natura. Sunt uerò & neutra quæcunq; nunc quidem hoc, nunc uerò contrarium significant, ueluti digiti denigrati. Talia sunt etiã critica, id est, decretoria accidentia, de quibus omnibus in libris de crisibus dictum est: sicuti etiã de his quæ ad unamquãq; attinẽt operationem, in his libris in quibus de causis accidentium agitur. Quare omnẽ horũ singulorũ materiam ex eisdem libris colligere oportet.

©BIU Santé



λέσθαι. ἐγὼ δὲ μῆκος φειδόμενος, ἐνθαυθοῖ μὲν ἤδη καταπαύσω τὸν περὶ τῶν σημείων λόγον, μεταβήσομαι δὲ ἐπὶ τὸν τῶν αἰτίων.

oportet. Ego uerò prolixitati parcens, hic sermoni de signis finem faciam, transgrediar aũt ad illum qui de causis.

## DE CAVSIS SALVBRIBVS, INSALUBRIBUS, AC NEUTRIS. Cap. LXXXIIII.

Ἐπεὶ δὲ καὶ τούτων ἐστὶ τὰ μὲν ὑγιεινὰ, τὰ δὲ νοσερὰ, τὰ δὲ οὐδέτερα, πρῶτον περὶ τῶν ὑγιεινῶν ὁ λόγος ἔσται. ἐπεὶ δὲ καὶ τούτων αὐτῶν τὰ μὲν ἦν φυλακτικὰ, τὰ δὲ ποιητικὰ τῆς ὑγιείας, ἔστι δὲ καὶ χρόνῳ καὶ ἀξιώματι πρότερα τὰ φυλακτικὰ τῶν ποιητικῶν, ἀπὸ τῶν φυλακτικῶν ἀρκτέον. ὄντος τοίνυν οὐχ ἑνὸς τοῦ ὑγιεινοῦ σώματος,

Quoniã uerò & harum hæ quidẽ salubres, hæ autẽ insalubres, hæ uerò neutræ, primũ de causis salubrib. erit sermo. Quia uerò, et harũ nõnullæ quidẽ cõseruatrices, nõnullæ uerò effectrices sanitatis, sunt aũt et tẽpore, et dignitate priores conseruatrices, incipiendũ est à conseruatricib. Quũ igitur nõ unũ tantũ sit sanum corpus,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 569 sur 669

©BIU Santé


σώματος, ἀλλὰ πλείονα, ὡς ἔμπροσθεν διώρισται, καθ' ἕκαστον αὐτῶν ἴδιον ἔσται τὸ φυλακτικόν, ὅτι καὶ πᾶν αἴτιον ἐν τῷ πρός τι. πάλιν οὖν κἀνταῦθα τὴν ἀρχὴν ἀπὸ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος ποιητέον, ἐπισκεπτομένους τὰ πρὸς ταύτην ὑγιεινά. τὴν δὲ εὕρεσιν αὐτῶν ἡ τοῦ πράγματος αὐτοῦ φύσις ὑπαγορεύει. εἰ μὲν γὰρ ἦν ἀπαθὲς καὶ ἀναλλοίωτον τὸ σῶμα, διὰ παντὸς ἂν ἔμενεν ἡ ἀρίστη κατασκευὴ, καὶ οὐδὲν ἂν ἐδεῖτο τέχνης ἐπιστατούσης αὐτῷ. ἐπειδὴ δὲ ἀλλοιοῦται, καὶ διαφθείρεται

corpus, sed plura, ut supra diffiniuimus, in eorū singulis propria erit causa conseruatrix. Siquidem omnis causa in eo quod ad aliquid existit. Hic igitur denuo sumendū initiū ab optima corporis constitutione, ac quæ ei salubria sint considerandum. Eorum autem inuētionem ipsius rei natura insinuat. Si enim impatibile, atq; inalterabile esset corpus, semper optima cōstitutio perduraret, neque artis præsidio indigeret. Quoniam uerò alteratur, corrūpitur, & uertitur,

φθείρεται καὶ τρέπεται, μὴ φυλάττον ἣν εἶχεν ἐξ ἀρχῆς κατάστασιν, ἐπικουρίας ἐν τούτῳ δεῖται.

& uertitur, neque eundem seruat prioris status tenorem, ea ratione auxilium desyderat.

## QVOT MODIS NOSTRVM corpus alteretur. Cap. LXXXV.

Καθ' ὅσους οὖν τρόπους ἀλλοιοῦται, τοσαῦτα γένη καὶ τῶν ἐπικουριῶν ἕξει, τουτέστι τῶν φυλακτικῶν αἰτιῶν, ἃ πρόδηλον ἤδη κἀξ αὐτῶν τῶν εἰρημένων, ἐπανορθωτικὰ τῷ γένει τετύχηκεν ὄντα. ἐπεὶ δὲ κατὰ βραχὺ ποιεῖσθαι τὰς ἐπανορθώσεις, πρὶν ἀθρόον ἀπαντῆσαι τὸ βλάβος, οὐ προφυλακτικὰ τοῦ μέλλοντος ἔσεσθαι κα-

Secundũ quod igitur alteratur modos, tot auxiliorum, hoc est causarum conseruatricum genera habebit, quas ex his quæ dicta sunt, liquet esse ex correctiuarum genere. Sed quia paulatim correctiones faciunt, antequã omnis ingruat noxa: non præseruantes à futuro malo, sed

©BIU Santé



κοῦ πρὸς τῶν ἰατρῶν
κέκληνται, ἀλλὰ φυλα-
κτικὰ τῆς παρούσης
κατασκευῆς. ἀλλοιοῦ-
ται τοίνυν τὸ σῶμα.
πρὸς μὲν τινῶν ἐξ ἀ-
νάγκης. πρὸς δὲ τι-
νῶν οὐκ ἐξ ἀνάγκης.
λέγω δὲ ἐξ ἀνάγκης
μὲν οἷς ἀδύνατον ἐ-
στὶ μὴ πλησιά-
ζειν, οὐκ ἐξ ἀνάγκης δὲ
τὰ λοιπά. τὸ μὲν γὰρ
τῷ περιέχοντι διὰ
παντὸς ὁμιλεῖν, ἐσθίειν
τε καὶ πίνειν, καὶ ἐγρη-
γορέναι καὶ ὑπνοῦν ἀ-
ναγκαῖον αὐτῷ, ξί-
φεσι δὲ καὶ θηρίοις οὐκ
ἀναγκαῖον. ὅθεν ἐν μὲν
τῷ προτέρῳ γένει τῶν
αἰτίων, ἡ περὶ τὸ σῶ-
μα τέχνη καταγίνεται, κατὰ δεύτερον οὐκέτι.



lo, sed præsentis status
cõseruatrices medici ap
pellant. Alteratur igi-
corpus nonnullis quidẽ
necessario, à quibusdam
uerò non necessario. Di
co autẽ necessario, quæ
nulla est euitandi ratio:
non necessario autẽ re-
liqua: nam aërẽ quidem
nos ambientem semper
attingere, comedereq́;
ac bibere, et uigilare, &
dormire est necessariũ.
Ensibus autem, & exi-
tialib. feris obuiare, non
necessarium. Quare cir
ca primum causarũ ge-
nus uersatur ars corpo
ris conseruatrix, circa
secundum aũt minimè.

Quot

ὁπόσα

©BIU Santé



ὁπόσα τοίνυν ἐστὶ τὰ ἐξ ἀνάγκης ἀλλοιοῦντα τὸ σῶμα, διελόμενοι καθ' ἕκαστον αὐτῶν, ἴδιον γένος αἰτίων ὑγιεινῶν εὑρήσομεν. ἓν μὲν ἐκ τῆς τοῦ περιέχοντος ἀέρος ὁμιλίας, ἕτερον δὲ ἐκ κινήσεως καὶ ἡσυχίας ὅλου τε τοῦ σώματος καὶ κατὰ τὰ μόρια, τρίτον ἐξ ὕπνου καὶ ἐγρηγόρσεως, τέταρτον, ἐκ τῶν προσφερομένων, πέμπτον, ἐκ τῶν ἐκκρινομένων, ἢ ἐπεχομένων, ἕκτον, ἐκ τῶν ψυχικῶν παθῶν. ὑπὸ τούτων γὰρ ἁπάντων ἀνάγκη τὸ σῶμα διατίθεσθαί πως. ὑπὸ μὲν γὰρ τοῦ περιέχοντος, ἤτοι θερμαινόμενον, ἢ ψυχόμενον.

Quot igitur numero sint ea quæ ex necessitate corpus alterāt distinguentes, proprium singulis eorum, causarū salubrium genus inueniemus. Inest igitur unum quidem ex ambiētis aëris adhæsu: alterum uerò ex motu, et quiete, et totius corporis, & partiū singularū: tertiū ex somno, & uigilia: quartum ex his quæ assumuntur: quintum ex his quæ excernuntur, & retinentur: sextū ex animæ affectibus: ex his enim necesse est aliquo modo affici corpus. Ab aëre quidē ambiente, quia aut calefit, aut frige-

©BIU Santé


μενον, ἢ ξηραινόμενον, ἢ ὑγραινόμενον, ἢ κατὰ συζυγίαν τι τούτων πάσχον, ἢ καθ' ὅλην τὴν οὐσίαν ἀλλοιούμενον. ἐκ κινήσεως δὲ καὶ ἡσυχίας ἀμέτρων ἀμφοῖν γινομένων, ἢ θερμαινόμενον, ἢ ξηραινόμενον, ἢ ψυχόμενον, ἢ ὑγραινόμενον, ἢ κατὰ συζυγίαν τι τούτων πάσχον. οὕτω δὲ καὶ ἐξ ὕπνου καὶ ἐγρηγόρσεως ἀνάγκη πάσχειν αὐτό. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐκ τῶν προσφερομένων ἢ ἐκκρινομένων, ἢ ἐπεχομένων. ἅπαντα γὰρ ταῦτα, τὰ μὲν ἄντικρους, τὰ δὲ διὰ μέσων ἑτέρων αἰτίων ἀλλοιοῖ τὸ σῶμα τὸ καὶ διαφθείρει

fit, aut exiccatur, aut humectatur, uel secundum horũ patitur coniugationem, aut in tota alteratur substantia. Ex motu uerò, & quiete, cum utraq; modum excesserint, aut calefactum, aut refrigeratũ, aut humectatum, aut exiccatum, uel aliquid secundũ horũ patiẽs coniugationẽ. Sic & ex somno, & uigilia ipsum pati est necessariũ, secundũ eandẽ rationẽ, & ex animæ affectibus. Ex his quæ assumũtur, aut excernũtur, aut retinẽtur, hæc siquidẽ omnia partim quidẽ euidenter, partim uerò per alias causas medias alterãt corpus, & sanitatem

©BIU Santé



διαφθείρει τὴν ὑγιείαν, καὶ γέγραπται περὶ τούτων αὐτῶν ἰδίᾳ καθ᾿ ἕκαστον ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ. τὰ μὲν οὖν ἅπαντα τὰ νῦν εἰρημένα γένη τῶν ὑγιεινῶν αἰτίων, ὕλαι τινὲς ὑπάρχουσι. μετὰ δὲ τῆς δεούσης χρήσεως, αἴτια γίνεται φυλακτικά τε καὶ ὑγιεινά. διαμαρτανόμενα δὲ τῆς συμμετρίας, νοσώδη καθίστανται, ὥστε δῆλον ἤδη κἀκ τούτων, ὡς οὐχ ἑτέρας μὲν οὐσίας τῶν ἐκτὸς τούτων πραγμάτων ὑγιεινὰς ἡμῖν, ἑτέρας δὲ νοσερὰς ὑποληπτέον. ἀλλὰ τὰς αὐτὰς ἐν τῷ πρός τι, ποτὲ μὲν ὑγιεινάς, ποτὲ δὲ νοσώδεις

*tatem corrũpunt, & de horũ singulis seorsum scripsimus in tractatu qui de salubribus inscribitur. Omnia igitur nũc dicta genera materiæ, quædam sunt salubrium causarum. At usu opportuno adhibito causæ fiunt conseruatrices, atque salubres: sed ubi à modo deliquerint, insalubres redduntur. Vnde etiam liquet ex his non alias præter has, aut salubres, aut insalubres à nobis existimari oportere, at easdem potius quandoque quidem salubres, quandoq; uerò insalubres,*

©BIU Santé



Ἔστι δὲ ἡ ἔμφραξις ἐκ ταὐτοῦ γένους τῶν νοσημάτων. ἡ μὲν ὑπὸ γλίσχρων καὶ παχέων γινομένη χυμῶν, ἕνα μὲν ἔχουσα τὸν αὐτὸν σκοπὸν ἐναντίον περὶ πάθει τὴν ἔκφραξιν. αἴτια δὲ ὑγιεινὰ τά τε ῥυπτικὰ καὶ τμητικὰ τῶν φαρμάκων. ἡ δ' ὑπὸ κόπρου σκληρᾶς ἐμφραχθείσης ἐντέρῳ, προτέραν μὲν ἕξει τὴν τῆς σκληρότητος ἐπανόρθωσιν ἐξ ὑγρῶν καὶ λιπαρῶν κλυσμάτων, ἑξῆς δὲ τὴν κένωσιν ἐκ δριμέων. ἡ δ' ὑπὸ λίθου κατὰ κύστιν, ἐν μὲν τῷ παραυτίκα

*Est uero & obstructio ex codē genere aegritudinum, quae quidem ex lentis, & crassis humoribus fit, unam & ipsa habēs intentionem morbo cōtrariam: dico autem apertionē.*

*Causae uero salubres sunt abstergentia, atq; incidentia medicamina. Quae uero fit à stercore duro, qđ interſepit inteſtinum, primū quidem habebit duritiei remediū ex humidis, pinguibusq; clyſteribus, demū ex acrib. euacuationem expoſcet. Quae autē à lapide fit in ueſica, in praeſenti*

©BIU Santé



τίκα τὴν μετάθεσιν.
ἰάσεως δὲ παντελοῦς
ἕνεκα, τὴν διὰ τομῆς
κομιδήν. ἡ δὲ τῆς παρὰ
φύσιν περιεχομένης
ὑγρότητος ἴασις, ἐν τῇ
παντελεῖ κενώσει, κα
θάπερ ἐπὶ τῶν ἐμπύ-
ων. ἡ δ' ἄμετρος πλή-
ρωσις, ἐν ἀμέτρῳ κενώ
σει, καθάπερ ἐπὶ τοῦ
κατὰ τὰς φλέβας αἵ-
ματος, ὡσαύτως καὶ
ὅσοις κατὰ γαστέρα, καὶ
ἔντερα, ἢ ἀρτηρίαν, ἢ
πνεύμονα πύον, ἢ αἷ-
μα περιέχεται, παντε
λοῦς κενώσεως δεῖται.
τῆς δὲ πλείονος ἐδέσ-
ματος, ἢ πόματος, ἔτι
τε προσφάτου, κατὰ
τὴν ἀποκένωσιν ἡ ἐπα
νόρθωσις. ὅσα μὲν
οὖν ἐν

præsenti quidem transpositionē requirit, integræ uerò sanitatis causa, incisionem, & extractionē. Humiditatis autē quæ præter naturā cōtinetur, sanatio, in omnimoda euacuatione cōsistit, quēadmodū etiā in suppuratis. Immodica autē repletio, immodica euacuatione curatur, ut cū sanguis intra uenas redūdat. Sic & quibuscūq; in uētriculo, uel intestinis, uel arteria aspera, uel pulmōe, pus, aut sanguis continetur, integra euacuatio est necessaria: supflui aūt cibi, aut potus adhuc recētis assumptio euacuatiōe corrigitur. Quæcūq; igitur
in

©BIU Santé



ὅσ᾽ ἐν πνεύμονί τε καὶ θώρακι περιέχεται, μετὰ βηχῶν μὲν ἢ κενώσεις, ὑπὸ δὲ φαρμάκων λεπτυντικῶν. ὅσα δὲ καθ᾽ ἧπαρ, ἢ φλέβας, ἢ ἀρτηρίας, ἢ νεφρούς, ἢ τοι δι᾽ οὔρων, ἢ γαστρός, ἀλλὰ δι᾽ οὔρων μὲν ὑπὸ τῶν λεπτυνόντων σφοδρῶς. διὰ γαστρὸς δὲ ὑπὸ τῶν ἑλκτικῶν τε καὶ ἀναστομωτικῶν. ὅσα δὲ κατὰ τὴν ἄνω γαστέρα, δι᾽ ἐμέτων. ὅσα δὲ κατὰ τὴν κάτω, δι᾽ ὑπαγωγῆς. ὅσα δὲ ὑπὸ τῷ δέρματι, διὰ τομῆς, ἢ καύσεως, ἢ φαρμάκων καυστικῶν. οὕτως δ᾽ ἐνίοτε καὶ ὅσα κατά τινα κοιλότητα φυσικὴν

in pulmone uel pectore cõtinentur, cũ tußi educuntur, aut à medicaminibus extenuantibus. Quæcũq; uerò in hepate, uel uenis, uel arterijs, uel renibus, aut per urinã, aut per uẽtriculũ. Sed per urinã quidẽ, ab his quæ uehemẽter extenuãt: per uentrem uerò, ab his quæ attrahendi, aut aperiẽdi ora uim habẽt. Quæcũq; uerò in superiore uentre cõprehenduntur, per uomitũ, quæ aũt in inferiori, per subductionẽ. Sed quæcũque sub cute p sectionẽ, uel ignẽ, aut per medicamina adurẽtia. Sic uerò aliquãdo quæcũq; in aliqua naturali cauitate, ut

©BIU Santé



κὴν ὡς περὶ θώρακος. ἐνὶ δὲ κεφαλαίῳ, τῶν μὴ ὅλῳ τῷ γένει παρὰ φύσιν ἔν τισι μέρεσι περιεχομένων, σκοπὸς τῆς ἰάσεως ἄρσις ἐστίν. εἰ δ᾽ ἀδύνατος γενέσθαι, μετάθεσις. ὅσα δὲ οὐχ ὅλῳ τῷ γένει παρὰ φύσιν, ἀλλὰ τῷ ποσῷ, σκοπὸς τούτων ἡ ἀποκένωσις. ἡ δ᾽ εὕρεσις τῶν ἰασομένων αὐτά, μέρος μέν τι κἀξ αὐτῆς λαμβάνεται τῆς διαθέσεως. ἡ πλείστη δὲ ἐκ τῶν πεπονθότων μορίων.

te, ut in thorace. Et ut summatim dicam, quicquid præter naturã in aliquibus partibus cõtinetur, sanationis intentio est ablatio: quæ si fieri non poßit, transpositio. Quæ uerò non sunt ex genere, præter naturam, at quantitate damnantur, in his intentio est abeuacuatio. At inuẽtio eorũ quæ ad ipsorum sanationem perducunt, partim quidem ex affectu, sed præcipue ex ipsis affectis particulis sumitur.

## DE ASPERITATE ET LENItate. Cap. XCV.

Ὅσα δὲ ἐν τῷ τετραχύνθαι παρὰ φύσιν ἔχει, τὴν κατὰ φύσιν αὐτοῖς

Quæcunq; partes uerò ob id quod exasperatæ naturalem amiserint habitũ, his leuitas natura-

BIU Santé



κοῖς ἀντισπαστέον λεῖα ὄντα. κατὰ μὲν οὖν ὀστοῦν ξύοντα, κατὰ δὲ ἀρτηρίαν, ἢ γλῶτταν, ἐκλεαίνοντα διὰ ὑγρῶν ἀδήκτων καὶ γλίσχρων. ὅσα δὲ παρὰ λεῖα γενέσθαι παρὰ φύσιν ἔχει, τὴν κατὰ φύσιν αὐτοῖς ἀντισπαστέον τραχύτητα, διά τε φαρμάκων ἱκανῶς ῥυπτικῶν, καὶ διὰ βραχείας στύψεως. ὅσαι δὲ ἐμφράξεις, ἢ στενοχωρίαι νοσήμασιν ἑτέροις ἕπονται, θεραπευτέον ἐκεῖνα πρότερα. δέδεικται δ' ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ὡς φλεγμοναῖς καὶ σκίῤῥοις καὶ οἰδήμασι καὶ ξηρότησιν ἐνίοτε ἀμέτροις,

lis est restituenda, ossa quidē leuigādo, arteriā, autē, & linguā leniēdo, humidis quæ nihil mordeāt, & lentorē habeāt. Sed quibuscunq; leuitas inest nō naturalis, asperitas est reuocāda medicaminibus, quæ sufficienter abstergant & parū astringāt. Quæcūq; uerò, uel obstructiōes, uel angustiæ meatuum alias sequuntur ægritudines, ab illarum curatione prius est incipiendū. Ostēsum siquidem est in libro de differētijs morborum, quòd & inflammationibus, & duris, laxis'que tumoribus, & siccitatibus, aliquando

©BIU Santé



ἀμέτροις, ἔτι τε μοχθηροῖς σχήμασιν αὐτῶν τῶν περιεχόντων σωμάτων, ἕπεται πολλάκις τὰ εἰρημένα, καθάπερ καὶ ὄγκοις τισὶ τῶν πέριξ σωμάτων. εἰ δὲ καὶ πρὸς ἄλληλα τῶν εἰρημένων ἐπιπλέκοιτό τινα, τὰς ἐνδείξεις ἕξει ποικίλας. ἀρκέσει δ' ἐφ' ἑνὸς, ὡς ἐπὶ παραδείγματος, ποιήσασθαι τὸν λόγον. ἐπὶ πλέον γὰρ ὑπὲρ ἁπάντων ἐν τοῖς θεραπευτικοῖς λέγεται. ὑποκείσθω τοίνυν ἐπιῤῥεῖν τινὶ μέρει πλῆθος αἵματος, ὡς διατείνεσθαι τὰ κατὰ τὸ μόριον ἀγγεῖα, μὴ τὰ μεγάλα μόνον, ἀλλὰ καὶ τὰ σμικρὰ τὰ πρότερον

immodicis, ac prætereà uitiosis partiũ continentium figuris, ea quæ nuper diximus, sæpius aduenīūt: sicuti & quibusdam tumorib. eorũ quæ sunt in ambitu corporũ. Quòd si nõnulla ex proxime dictis inuicem cõplicentur, uarias habebunt indicationes. Sufficiet autem in uno exemplo habuisse sermonẽ, quoniam de omnibus in libris de arte curandi plenius sumus exequuti. Supponatur cuipiam particulæ multitudinẽ sanguinis influi, adeò ut intendantur in ea uenæ, non maiores tãtum, sed etiam paruæ, quæ

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 626 sur 669

BIU Santé



πρότερον ἐκφεύγοντα τὴν ὄψιν. ἐκ δὲ τοῦ πεπληρῶσθαι φαινόμενα νῦν, ὥσπερ γε ἐπ᾽ ὀφθαλμῶν ὁρᾶται σαφῶς ἐνίοτε διὰ λευκότητα τοῦ χιτῶνος. εἰκὸς γὰρ δήπου, καὶ ἄλλα τῶν μὴ ὁρωμένων ἀγγείων διατετᾶσθαι μεμεστωμένα, μηδέπω μηδ᾽ αὐτὰ φαινόμενα διὰ τὴν σμικρότητα, καὶ δὴ κίνδυνος ἐκχυθῆναι τὸ διιδρούμενον ἐκ τῶν ἀγγείων, εἰς τὰς μεταξὺ χώρας τὰς κενὰς, ἢ καὶ παρεκχεῖσθαι μικρὸν ἤδη. τοῦ τοιούτου πάθους ἡ ἴασις. ἕξει μὲν δή που σκοπὸν τὴν κένωσιν, ἢ ἵνα σαφέστερον εἴπωμεν, ἀποκένωσιν.

prius sensum effugiebant, nunc uerò iam plenæ uisu comprehenduntur, sicuti plerunque in oculis ob tunicæ albedinem manifestißimè patet: par siquidē est quòd & alia uasa quæ latent sensum, iā plena distendātur, nondum & ipsa ob paruitatem uisui manifesta: & iam periculum imminet, ne quod ex uasis exudat, ad spatia uacua, quæ in medio sunt, effundātur, aut ne iam paucum aliquod sit effusum. Huius quidem affectus sanatio intentionem habebit euacuationem, aut, ut manifestiori uocabulo utamur,



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 627 sur 669

©BIU Santé



κένωσιν. ἐπειδὴ τὸ πάθος ἦν ἐν τῷ πεπληρῶσθαι τὸ μόριον ἀμέτρως ἀναγκαῖον δή, ἤτοι παλινδρομῆσαν ἐκκενωθῆναι τὸ περιττόν, ἢ διὰ αὐτοῦ τοῦ πεπονθότος μορίου. παλινδρομήσει μὲν οὖν, ἢ ὠσθέν, ἢ ἑλχθέν, ἢ παραπεμφθέν, ἢ κατά τινα τούτων, ἢ κατὰ πάντα. διὰ αὐτοῦ δὲ τοῦ πεπονθότος ἐκκενωθήσεται. τὸ μέν τι φανερῶς τε καὶ αἰσθητῶς, τὸ δὲ εἰς ἀτμοὺς λεπτυνθέν. εἰ μὲν οὖν εἴη τὸ σύμπαν σῶμα πληθωρικότερον, οὐ χρὴ διὰ τοῦ πεπονθότος τόπου ἐκκενοῦν. εἰ μὲν γὰρ ἀμυχαῖς καὶ το-

μαῖς

euacuationem: si quidem morbus erat immoderata partis repletio. Necessarium igitur est, ut aut superfluitas retrocedēs euacuetur, aut per ipsam patientē particulam. Retrocedet autem, uel impulsa, uel attracta, uel trāsmissa, uel horū uno aliquo modorū, uel omnibus. Per locum uero patientē euacuabitur, partim quidē manifeste, & sensibiliter, partim uerò in uapores resoluta. Si igitur uniuersum corpus plus æquo plenum fuerit, per patientem locū minimè euacuādum. Nam si scarificatiōibus.

aut

©BIU Santé



μαις αἰσθητῶς ἐκκενώσομεν ὀδυνήσαντες, ἐπισπασόμεθα πλέον διὰ τὴν ὀδύνην. εἰ δὲ τοῖς θερμαίνουσι διαφορεῖν ἐπιχειρήσομεν, ἕλξομεν διὰ τὴν θερμότητα πλέον εἰς τὸ μέρος ἢ φορήσομεν. εἰ δ' αὖ βουλοίμεθα παλινδρομεῖν ἀναγκάζειν τὸ ἐπιῤῥυὲν, οὐκ ἂν δέξαιτο μεστὸν ὑπάρχον τὸ σῶμα. πρὸς ἄμφω τοίνυν ταῦτα χρὴ κενῶσαι τὸ ὅλον, ἢ ἀντισπᾶσαί γε πάντως εἰς ἀλλαχωρίαν τὸ ἐπιῤῥέον τῷ πεπονθότι. τοῦτο δὲ ἐργασάμενον ἀποθεῖσθαι τοῦ μέρους πρότερον, ἢ διαφορεῖν ἐπιχειρεῖν.

ἑτοῖμα.

aut sectionibus sensibiliter euacuabimus, plus ratione excitati doloris attrahemus. Si uerò calefacientibus dispergere tentabimus, plus erit id qđ ui caloris ad partem attrahetur, quā dispersum. Quòd si in eo elaborabimus, ut quod influxit retrocedat, corpus plenum non admittet. Ad hæc igitur ambo totum corpus euacuare oportet, aut omnino ad cōtraria loca retrahere quod patiēti particulæ influit: quo pfecto opere, prius à parte repellendū, mox dispergēdū.



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 629 sur 669

©BIU Santé



ἑτοιμοτέρα γὰρ ἡ κένωσις ὅσῳ διὰ μειόνων. ἀποκρουσόμεθα δ' ἐκ τοῦ πεπονθότος, εἰ στύφοιμέν τε καὶ ψύχοιμεν. ἀλλὰ καὶ τὰ κενωθέντα πρὸς ἑαυτά, ἀποκρουόμενον ἕλξει. δέδεικται γὰρ καὶ τοῦτο διὰ τῶν περὶ τῶν φυσικῶν δυνάμεων λόγου. καὶ δὴ καὶ παρα πέμψει τὰ ἀγγεῖα, τονωθέντα τοῖς στύφουσι φαρμάκοις. εἰ μὲν οὖν ἅπαν οὕτω παλινδρομήσει, εὖ ἂν ἔχῃ. καταληφθέντος δέ τινος ἐν τῷ μορίῳ, ἐχρῆν μὲν δήπου τεκμαίρεσθαι τὸ γλίσχρον ὑπάρχειν, ἢ παχὺ καὶ διὰ τοῦτ' ἐσφηνῶσθαι δυ-

Quãto enim per minora fit, tanto expeditior est euacuatio. A patiẽte uerò loco adstringẽdo, ac refrigerãdo, repellemus: sed exinanita loca attrahũt ad se ipsa quæ cũq; repcutiũtur. Hoc si quidẽ ostẽsum est in eo uolumine, in quo de potẽtijs naturalib. agitur, & uasa præterea uigore ex medicaminibus adstringẽtibus addito, à se ad alia remittent. Si igitur hac uia superfluum omne retrocesserit, bene se res habet. At si aliquid fuerit in parte retentũ, cõiecturandũ erit id lentũ ac crassum existere: atq; ea ratiõe iam coactũ, atque adstrictum, ut cum difficultate solui possit.

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 630 sur 669

BIU Santé


πλύτως. δύναται δὲ
καὶ μὴ τοιοῦτον ὄν, εἰς τὰς
μεταξὺ χώρας ἐκκεχύ-
σθαι. τότ' οὖν ἥκειν ἤδη
καιρὸς ἐστὶ τὸ κενοῦν
αὐτὸ διὰ τοῦ πεπονθό-
τος, ἐπιθέντα τοῖς ὑπερ-
κειμένοις ἀποκρουστικὰς
τῶν ἐπιῤῥεόντων δυνά-
μεις ἐκκενώσεις δὲ μάλι-
στα, εἰ κατὰ τὰς μετα-
ξὺ χώρας τεκμαίροιο
περιέχεσθαί τι, δι' ἀ-
μυχῶν τε ἅμα καὶ διὰ
φαρμάκων διαφορητι-
κῶν. ἀλλ' ἐπεὶ τὰ δια-
φοροῦντα πάντα θερμὰ
ταῖς δυνάμεσιν ὑπάρ-
χει τοῦ δ' αὐτοῦ ἐστι κρά-
σεως ἔργον τὸ δάκνειν,
ὅταν ἀμετρότερον ᾖ
θερμὰ, φυλακτέον ἐν

posit. Fieri autē potest,
etiam si nō eius naturæ
sit, ut ad spatia quæ in
medio, sit effusū: in quo
casu tūc ad id ueniendū
esse tēpus suadet, ut hoc
ipsum quod reliquū est
per patientem locū eua
cuemus, imponendo su-
pra iacentibus partibus
ea, quæ influentē humo-
rem repellendi uim ha-
bent. Maximè uerò eua
cuabis, si in spatijs inter
medijs aliquid cōtineri
cōiectura assequeris, &
scarificationū auxilio, et
medicaminum quæ uim
habeāt dispergendi. Sed
quoniā hæc omnia uires
calidas habēt, eiusdē ue
rò tēperaturæ opus est,
mordere quādo modum excesserit, cauenda ex eis

©BIU Santé



αὐτοῖς τὰ πάνυ θερμὰ, καὶ μάλιστα ἂν ἐπιπολῆς τὸ πεπονθός. ὀδυνήσεται, γὰρ οὐ σμικρῶς, ἂν ἅμα πεπόνθῃ καὶ δάκνηται, ὀδύνη τε πᾶσα προξύνει τὰ ῥεύματα. τὸ μετρίως οὖν θερμὸν, ὑπὲρ τούτων ἀνώδυνον, ἔτι δὲ μᾶλλον ἐὰν ὑγρὸν ὑπάρχῃ. τὸ μέντοι γε ἱκανὸν ἐστὶν διαφορῆσαι τὸ ἐπιπολῆς, εἰ καὶ μὴ σφοδρὸν εἴη τὸ διαφορητικὸν φάρμακον. εἰ δὲ τὰ μὲν ἐπιπολῆς ἀπαθῆ παντάπασιν ὑπάρχει, διὰ βάθους δ' εἴη τὸ κενώσεως δεόμενον, ἐπιτεῖναι καὶ αὐξῆσαι δεῖ τὸ διαφορητικοῦ

ſunt uehemẽtiſſime calida, ac tum præſertim, cum patiens locus inter ſumma fuerit: neq; enim paruus excitabitur dolor, ſi præter proprium affectũ inſuper mordeatur, omniſque præterea dolor fluctiones cõmouet. Quòd igitur mediocrem caliditatẽ obtinet, in his ſenſum doloris nõ inuehit: atq; eo amplius omni dolore uacat, ſi humidũ extiterit. Et quidẽ quicq̃d per ſumma hæret, potẽs eſt id medicamen diſpergere, q̃ etiã ualidas nõ habuerit ad diſpergendum uires.

Quod ſi ſummæ quidẽ partes omni noxa caruerint, id uerò quod euacuari oporteat in penitiorib. partib fuerit intendẽdus, atq; augẽdus diſpergẽtis

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 632 sur 669

©BIU Santé


τὴν θερμασίαν. κιν-
δυνεύσει γὰρ ἐκλυθῆ-
ναι, πρὶν εἰς τὸ βάθος
ἐξικέσθαι. οὐ μὴν οὐδ' ἀ-
νιάσει τι τὰ ἐπιπολῆς
ὢν ψαύσει, διότι μὴ
πέπονθεν, ὥστε καὶ νῦν
ἐς ταυτὸν ἄμφω συμ-
βαίνει, πρὸς τὴν τῶν θερ-
μοτέρων ἅμα καὶ δρι-
μυτέρων φαρμάκων
χρῆσιν, τά τ' ἐπιπο-
λῆς ἀνεχόμενα, καὶ τὰ
διὰ βάθους δεόμενα.
ταύτην μὲν οὖν τὴν
ἔνδειξιν ἐκ τοῦ μορίου ἐλά-
βομεν. ἑξῆς δὲ σκοπῶ-
μεν εἰ λείπει τι πρὸς
τὴν ἴασιν. ἔοικε γὰρ λεί-
πειν, οὐ μικρὰ τῶν πεπον-
θότων αὐτῶν, ἐν οἷς
ἐστὶ τὸ περιττὸν τοῦ
ῥεύματος.

medicaminis calor, cum
dubitandū sit ne priusquàm profundas attige-
rit partes, interim uires
amittat: neq; tamen ex
eo superiores partes ali-
quem dolorem sentiēt,
cum omni uacent affe-
ctu. Quare nūc hæc duo
simul inuitāt ad calidio-
rum pariter, atq; acriū
medicaminum usum, & 
summæ partes quæ to-
lerāt, et profundæ quæ
egēt. Hæc igitur ex pa-
tiēte particula indicatio
assumebatur. Deinceps
uerò, si quid ad sanita-
tem deficiat considere-
mus, neq; enim paruum
aliquid deesse uidetur.
Affectæ partes, in quib.
fluctionis superfluitas
retinetur,

©BIU Santé



ῥεύματος. ἔνια μὲν ἀραιὰ καὶ χαῦνα, καὶ μαλακὰ τὴν φύσιν ἐστι, ἔνια δὲ πυκνὰ καὶ πεπιλημένα καὶ σκληρά. τὰ μὲν οὖν πρότερα, ῥαδίως ἐκκενοῦται. τὰ δ᾽ ἕτερα, δριμυτέρων δεῖται τῶν κενωσόντων αὐτά, καὶ προσέτι λεπτομερεστέρων. ἂν δὲ καὶ κατὰ συχνοῦ κεῖνται βάθους, ἔτι δὴ καὶ μᾶλλον. αὕτη σοι πάλιν ἔνδειξις ἑτέρα παρὰ τῆς οὐσίας τοῦ πεπονθότος. ἄλλη δ᾽ ἀπὸ τῆς διαπλάσεως ἅμα καὶ θέσεως. ὑποκείσθω γὰρ εἰ οὕτως ἔτυχεν, ἐν ἥπατι τὴν προειρημένην εἶναι διάθεσιν, ἐν τοῖς

retinetur, nonnullæ quidem raræ, & laxæ, & molles natura existunt: nonnullæ autem densæ, & pressæ, ac duræ. Priores igitur facilè euacuantur, reliquæ autē acrioribus euacuantib. ac prætereà tenuiores partes habētibus, egēt; atq; eo etiā magis quanto profundiorē sitū habuerint. Hæc igitur tibi rursus sit indicatio, altera à particulæ patientis substātia: alia uerò à formatione simul, ac situ. Supponatur enim, si ita cōtigerit, in hepate esse proximè dictū affectū, in

BIU Santé



ἐν τοῖς στενοῖς πέρασι τῶν ἀγγείων ἐσφηνωμένων ὑγρῶν, ἤτοι γλίσχρων, ἢ παχέων, ἢ πολλῶν. ἆρ' οὐχ ἕτοιμον ἐδέσμασί τε καὶ πόμασι λεπτυντικοῖς. τὸ πάχος μὲν πρῶτον ἅμα τῇ γλισχρότητι λεπτομερὲς ἐργάζεσθαι. δεύτερον δὲ μὴ διὰ τῶν ἀοράτων καὶ στενῶν μόνον, ἀλλὰ καὶ δι' εὐρέων ὁδῶν ἐκκενῶσαι τὸ λυποῦν. εὐρύτεραι γάρ εἰσι κατὰ τὸ ἧπαρ αἱ φλέβες, ὥσπερ καὶ πλείους. τελευτῶσι δ' αἱ μὲν ἐν τοῖς κυρτοῖς εἰς τὴν κοίλην, αἱ δ' ἐν τοῖς σιμοῖς, ἐπὶ πύλης, ὥστ' ἤδη σοι

ῥᾷστον,

in angustis uasorũ finibus intrusis humoribus, qui uel lenti, ac tenaces, uel craßi existãt, uel superabundent. Nónne in promptu est, primũ quidem craßitiẽ, unà cũ lentore, & tenacitate, cibis, ac potib. extenuantibus, ad subtiliorũ partium substantiã trãsferri oportere? Secundo autẽ loco non per angustos, atq; inuisibiles, sed latiores meatus quicq̃d infestũ existit, esse euacuandum? Sũt enim in hepate uenæ non minus amplitudine, q̃ numero excedẽtes: terminãtur aũt hæ quidem in gibbis ad uenam cauam, hæ uerò in cauis ad portam.

©BIU Santé



ξᾶσον, ἐν ὁποτέραις ἂν ὦσιν αἱ σφηνώσεις, ἐκκενοῦν ἑτοίμως αὐτάς, ἕλκοντα μὲν εἰς τὴν γαστέρα διὰ τῶν ἑλκτικῶν ὅσα τῶν ὑγρῶν ἐσφήνωτο, κατὰ τὰς ἐν τοῖς σιμοῖς φλέβας. ἐπ᾽ οὖρα δὲ προτρέποντα διὰ τῆς κοίλης φλεβός, ὅσα κατὰ τὰς ταύτης φλέβας, ἑτέρα δὲ ἐπὶ ταῖς προειρημέναις, ἔνδειξις ἀφ᾽ ἥπατος, ὡς ἀρχῆς φλεβῶν. ἐπεὶ γὰρ οὐχ ἑαυτὸ μόνον, ὥσπερ τὰ πλεῖστα μόρια τοῦ ζώου διοικεῖν πέφυκεν, ἀλλ᾽ ἐπιπέμπει δύναμιν ταῖς φλεψί, κίνδυνός ἐστιν ἐὰν κωλύ-

Vnde haud difficile tibi futurũ ubicũq; preßi, ac ſtipati humores fuerint, eoſdẽ expedite euacuare, trahendo quidem ad uentrẽ cũ his quæ attrahẽdi uim habẽt medicaminib. quicunq; ex ipſis in uenis ad caua hepatis pertinentibus aceruati, ad urinæ uerò meatus promouẽdo per cauam uenam quicũq; in uenis ad eã pertinẽtibus ſunt. Sed præter ſupradictas alia eſt indicatio ab hepate ipſo, ueluti à uenarũ principio: nam cum non tantum ſeipſum regere natura aptum ſit, ut pleræ'que animalis partes, ſed uenis prætcrea uirtutem largiatur, periculum imminet, ne ſi eius

BIU Santé



σωμεν αὐτοῦ τὸν τόνον ἐπιβροχαῖς τε καὶ καταπλάσμασι χαλαστικοῖς, αὐτό τε πρῶτον ἀτονῆσαι περὶ τὴν ἐνέργειαν, ἀτόνους τε συμπάσας ἐργάσασθαι τὰς φλέβας, ὅθεν ἐπιμιγνῦναι χρὴ τῶν στυφόντων τι φαρμάκων ἐν ταῖς θεραπείαις αὐτοῦ. ἀλλ᾽ ἐπειδὴ διὰ βάθος ἐστὶ συχνοῦ, κίνδυνος ἐκλυθῆναι τὴν δύναμιν τοῦ στύφοντος, ἐὰν μὴ προσάγηται πρός τινος ἑτέρας οὐσίας λεπτομεροῦς, οἷά περ ἡ τῶν ἀρωμάτων ἐστί. κάλλιον δὲ εἰ αὐτὸ τὸ στύφον φάρμακον εὐθὺς εἴη καὶ ἄρωμα συμ-

φύτους

*si eius uigor madefacientibus, ac relaxantibus cataplasmatib. fuerit resolutus: & ipsum primū, ad sui opus, atq; oēs subinde uenæ eius ratiōe imbecilles efficiātur. Quare in eius curationib. aliqua ex astringētibus medicaminibus miscere oportet. Sed quoniā in profundo admodū loco situ est, dubitandum erit ne adstringentis medicaminis uis debilitetur, nisi ab aliqua altera subtiliū partiū substātia, qualis aromatum est, traducatur. Melius uerò fuerit, si et ipsum adstringēs medicamen unū protinus ex aromatū genere fuerit:*

nam

©BIU Santé



φύτους γὰρ ἔχον δύο ποιότητάς τε καὶ δυνάμεις, ἰσχυρότερον ἐνεργήσει. καὶ τοίνυν ἐκκενούσθω μὲν καὶ ἤδη τὸ παρὰ φύσιν εἰς τὸ μόριον ἐνεχθέν. ἐχέτω δὲ τὴν συμμετρίαν τῶν χυμῶν τὴν κατὰ φύσιν. ἐπισκεπτέον οὖν ἡμῖν ἐν τούτῳ, μήτι πρὸς τῆς τοῦ ῥεύματος ποιότητος ἠλλοιώθη τὴν κρᾶσιν. εἰ μὲν φλεγματικώτερον ἦν, ψυχθὲν, εἰ δὲ χολωδέστερον, θερμανθὲν, ἵνα καὶ ταύτην αὐτοῦ τὴν δυσκρασίαν ἰασάμενοι, τελέως ὑγιεῖς ἀποφαίνωμεν. ἰασόμεθα, δὲ τὴν ἐναντίαν ἀντεισάγοντες ποιότητα,

nam si duas habuerit natura insitas qualitates ac potestates, ualentius operabitur. Et quidem euacuetur quod præter naturā in membrū confluit. Seruet autē humorum modū naturæ conuenientem. Quare & illa animaduersio à nobis est adhibenda, nequid ab humoris confluentis qualitate, eiusdem membri temperies sit altera: si pituitæ naturam tenuerit, ad frigiditatem: si uerò bilis, ad caliditatem, ut hanc ipsam curātes intēperiem sanitati restituamus. Curabimus autem, contrariam ex aduerso afferentes qualitatem:

τα, καθάπερ ἐν ταῖς τῶν δυσκρασιῶν εἴρηται θεραπείαις εἰς ὅσον ἕκαστον ἐγένετο θερμότερον, ψύχοντες εἰς τοσοῦτον, ὥστ' ἐν ταῦθα πάλιν ἀναγκαῖον ἐπίστασθαι τὴν κατὰ φύσιν εὐκρασίαν αὐτοῦ. πῶς γὰρ ἂν εἰδείημεν; ὁπόσῳ τοῦ κατὰ φύσιν ἐστὶ ψυχρότερον, ἢ θερμότερον, ἢ πότε ψύχοντες παυσόμεθα, μὴ γινώσκοντες τὸ μέτρον τῆς κατὰ φύσιν θερμότητος. οὕτω δὲ καὶ εἰ τὸ ψυχρότερον γενόμενον θερμαινόμεν, μὴ γινώσκοντες τὸ μέτρον αὐτῆς τῆς κατὰ φύσιν ψυχρότητος, οὐχ οἷόν τε ἡμῖν ὅτ' εὐπορῆσαι.

*tatem: quemadmodũ in intemperaturarũ curationibus diximus, quantum unũquodq; calidius, aut frigidius factum est, tantũ refrigerantes, aut calefaciẽtes. Quare ut hic rursus agnoscẽda est ipsius secundũ naturã tẽperies. Nã quo pacto sciemus quantum in frigiditate, ac caliditate à naturæ modo recesserit, aut quãdo à frigefaciendo supersedebimus, si nos latuerit, ea quæ est secundũ naturã caliditas? Ita uerò & frigidius effectum calefaciemus, ignorantes frigiditatis naturalis modum: neque opportunè*

©BIU Santé

©BIU Santé



σαι τοῦ θερμαίνοντος οἰκείως οὔτε παύσασθαι θερμαίνοντας.

calefacere, neq; in tempore à calefaciẽdo desistere poterimus.

## DE MORBO SECVNDVM NVmerum. Cap. XCVI.

Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, μεταβαίνειν ἤδη καιρὸς ἐπὶ τὰ κατὰ τὸν ἀριθμὸν, οὐ κατὰ φύσιν ἔχοντα. διττῆς δὲ οὔσης αὐτῶν τῆς διαφορᾶς, οἷς μὲν ἐλλιπές τι μόριον, ἐργάζεσθαι τοῦτο σκοπὸς ὑπηρετοῦντας δηλονότι τῇ φύσει, καθ' ὃν ὀλίγον ἔμπροσθεν εἴρηται τρόπον. οἷς δ' αὖ περιττεύει, τοῦτ' ἐκκόπτειν αὐτὸ, ἤτοι διὰ σμίλης, ἢ διὰ πυρὸς, ἢ διὰ φαρμάκου,

Sed quoniã de his satis diximus, trãsire iam tempus ad ea in quibus numerus non est secundum naturã. Cũ verò duplex sit eorum differentia, quibus quidem aliqua particula deficit, his intentio est alteram efficere subministrando naturæ, eo quo diximus paulo antè, modo. At quibus superabundat, hanc resecare oportet, aut ferro, aut igne, aut medicamine,

©BIU Santé



φαρμάκου καυστικοῦ. ταυτὶ μὲν οὖν ἅπαντα, σχεδὸν δυνατόν ἐστιν ἰάσασθαι, γεννῆσαι δ' οὐχ ἅπαντα δυνατὸν, ὥσπερ ἐν τῷ περὶ σπέρματος ἀποδέδεικται. λόγῳ τινὰ δὲ κἂν αὐτὰ μὴ δυνατὸν ᾖ γεννῆσαι, ποιῆσαι γοῦν ἀντ' αὐτῶν ἕτερον τι δυνατὸν, ὡς ἐπὶ τοῦ ὀστοῦ τελέως ἐξαιρεθέντος, οὐσίαν ἑτέραν ἐν τῇ κατ' αὐτὸ χώρᾳ διαφέρουσαν ὀστοῦ τε καὶ σαρκός. ἔστι γὰρ ἡ γινομένη κατὰ τὴν χώραν αὐτοῦ, καθάπερ τις σὰρξ πωροειδὴς, ἢ πῶρος σαρκοειδὴς, καὶ τοῦ χρόνου δὲ προϊόντος, ἐπὶ τὸ πωρω-

medicamine, quod urendi uim habet. Hæc igitur omnia sanare possibile est: ac non æque omnia generari possunt, ut in libro de semine dirimus. Quædam uerò sunt: quæ & si generari nō possunt, licet tamen pro ipsis alterum efficere: quemadmodum in osse ex toto sublato, alteram substantiam in eius sede reponere, à carne, atque osse differentē: est enim quæ in eius gignitur loco quædam ueluti caro callosa uel callus carnosus, & processu tēporis magis, ac magis

©BIU Santé



τὸ πωρωδέστερον μεθίστασθαι, κατ' ἀρχὰς σαρκοειδὴς μᾶλλον οὖσα. καθότι δ' ἂν μόριον ἀπολλύμενον, οὔτε τὴν αὐτὴν οὐσίαν κατ' εἶδος, οὔθ' ὁμοίαν ἐργάσασθαι δυνάμεθα, τρίτος ἡμῖν σκοπὸς ἐξευρεῖν τινὰ κόσμον, ὡς ἐπὶ τῶν κολοβωμάτων.

magis ad calli duritiem transfertur, cũ ab initio carnis potius imitetur naturã. Quacũq; parte sublata, cũ neq; eandem secundũ speciẽ substantiam, neq; similem efficere possumus, tertia nobis intentio quendã decorẽ inuenire, quẽadmodum in mutilationibus.

## DE MORBO SECVNDVM MAGNITUDINEM. Cap. XCVII.

Ἐπικοινωνεῖ δὲ δηλονότι τὸ γένος ὅλον τοῦτο τῷ κατὰ τὸ πηλίκον. ὅσον γὰρ αὐτοῦ περὶ τὸ κατὰ φύσιν ἐστίν, ἐκείνῳ πλησιάζει. τὸ δ' ἐν τοῖς τοῦ γένους παρὰ φύσιν, ἀποκεχώρισται μόνον, ἐφ' οὗ

Communicat autem hoc genus totũ cum eo quod ad magnitudinem pertinet. Nam quodcũq; ex eo est secundũ naturam, illi propinquũ existit. Id uerò tantũ seiunctum est, ac separatum quod interea quæ sunt ẽ genere non naturali cõnumeratur: in quo quidem

©BIU Santé



πρῶτος μὲν σκοπὸς ἡ ἀφαίρεσις. εἰ δ' ἀδύνατος οὗτος, ἡ μετάθεσις δεύτερος, ὡς περὶ τῶν ὑποχυμάτων. ὅσα δ' οὐχ ὅλοις μορίοις, ἀλλ' ἐν μέρεσι μορίων, ἐλλείπει τε καὶ ὑπερβάλλει τοῦ κατὰ φύσιν. ἀνάθρεψις μὲν ἡ γένεσις περὶ τῶν ἐλλειπόντων, ἀφαίρεσις δὲ ἡ καθαίρεσις, περὶ τῶν ὑπερβαλλόντων, ὅθεν οὔτε σκοπὸς ἐπ' αὐτῶν ἕτερος, οὔτ' ἰδέα φαρμάκων ἑτέρα κατὰ γένος.

*prima intentio est ablatio: si uerò hæc impoßibilis existat, secunda est trãspositio, quemadmodum in suffusionibus. Quæcunq; uerò non integris partibus, sed partium tantummodo particulis deficiunt, aut excedunt naturæ modum: refectio quidem, uel generatio in his quæ deficiunt, ablatio uerò, & abolitio in his quæ superabũdant. Quare neque in ipsis altera inuẽtio, neq; medicaminum forma genere diuersa.*

## DE MORBO SECVNDVM SItum. Cap. XCVIII.

Ἀλλ' ἐπὶ τὸ λοιπὸν ἔτι γε ἰτέον τῶν ὑγιεινῶν αἰτίων, ὅσον ἐπανορ-

*Sed iam ueniendum est ad reliquum salubrium causarũ genus, quod*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 643 sur 669

©BIU Santé



ἐπανορθωτικὸν δέ ἐστι τῶν
παρὰ τὴν θέσιν ἐσφαλ
μένων σωμάτων, οἷον
ἐξαρθρήματα, καὶ ἔν-
τερον ἐν ὀσχέῳ. γίνε-
ται δὲ τὸ μὲν ἐκ βιαί-
ας τάσεως, ἢ ὤσεως.
τὸ δὲ ἐξ ἀνευρύνσεως
ἢ ῥήξεως τοῦ περιέχον-
τος, ὥστε καὶ ἡ ἴασις
διττὴ μὲν ἐξ ἀντιτάσε-
ώς τε καὶ τῆς εἰς τοὐ-
ναντίον, εἰ παρήλλα-
ξεν, ὤσεως, διττὴ δὲ ἐκ
τοῦ στεγανὸν ἐργάσα-
σθαι, τὸ περιέχον. ἐξ
ὧν δ' ἄν τις μεθόδων
τὰ κατὰ μέρος ἐξευ-
ρίσκῃ, διὰ τῆς θερα-
πευτικῆς πραγμα
τείας δεδή-
λωται.

ἑξῆς

ea corpora emẽdat, quæ
in situ sunt uitiata: uelu
ti luxationes, & intesti
num in scroto. Fit autẽ
hoc ex uiolenta tẽtione;
atque impulsu. Hoc ue
rò ex dilatato, ac rupto
continente. Quare &
duplex sanandi modus
alter quidem ad opposi
tam partẽ ei à qua facta
est permutatio intẽden
do, atque impellendo: al
ter uerò id quod conti
net firmius solidiusque
reddendo. Quibus ue
rò uijs, ac rationibus
singula inueniri possũt,
in libris de arte cu
randi explica
uimus.

DE

BIU Santé



## DE CAVSIS PRAESERVATIuis. Cap. XCIX.

Ἑξῆς δ' εἴη λέγειν ὅσα κατὰ τὸν ἔμπροσθεν λόγον ἀνεβαλλόμεθα. καλοῦσι δὲ αὐτὰ προφυλακτικά. τριττὴ δ' ἐστὶ καὶ τούτων ἡ κατὰ γένος διαφορά. πρώτη μὲν ὑγιαίνοντος ἀμέμπτως τοῦ ἀνθρώπου, δευτέρα δὲ ἡ μεμπτῶς, ἡ τρίτη δὲ νοσοῦντος. τὸ μὲν οὖν πρῶτον γένος ἐκ τῆς ὑγιεινῆς ἐστὶ πραγματείας, διττὴν ὑπάρχον, ὡς ἔμπροσθεν εἴρηται. τὸ δεύτερον δὲ ἐκ τῆς προφυλακτικῆς, τὸ δὲ τρίτον, ἐκ τῆς θεραπευτικῆς. ἐν χυμοῖς δὲ μάλιστα τὴν σύστασιν

*Consequens est, ut ea omnia exequamur, quæcūq; in superiori sermone dicere distulimus. Vocant autē eadē præseruatiua. Est autē horū triplex secūdum genus differentia. Prima quidē hominis qui integra fruitur sanitate: secunda uero eius q non integre ualet: tertia eius q ægrotat. Primū igitur genus ad salubrē attinet artē atq; in duas, ut antea diximus, diuiditur partes: secundū uero ad præseruatiuā spectat: tertiū ad curatiuā. Hoc autem uniuersum genus circa humores præcipue negociatur.*



Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 645 sur 669

©BIU Santé



στασιν ἔχει σύμπαν τοῦτο τὸ γένος, οὓς οὔτε γλισχροὺς εἶναι προσήκει, οὔτε παχεῖς, οὔτε πολλοὺς, οὔτ' ἐπὶ πλέον θερμοὺς ἢ ψυχροὺς, οὔτε δακνώδεις, οὔτε σηπεδονώδεις, οὔτε δηλητηρίους. αὐξηθέντες γὰρ, αἴτιοι καθίστανται νοσημάτων. αὐξάνονται δέ ποτε μὲν ὑπὸ τῆς αὐτῆς αἰτίας, ἥπερ αὐτοὺς ἐγέννησε τὸ πρῶτον. ἔστι δ' ὅτε συναλλοιοῦντες ἑαυτοῖς τοὺς κατὰ τὸ σῶμα χυμούς. σκοπὸς δ' οὖν καὶ τούτων ὁ τῆς ἰάσεως διττός, ἀλλοίωσίς τε καὶ κένωσις. ἀλλοιοῦνται μὲν οὖν ἤτοι πεττόμενοι πρὸς αὐτοῦ τοῦ σώματος, ἢ ὑπὸ

gociatur, quos neq; lentos esse oportet, neque crassos, neque aquosos, neque plurimos, neque uehemẽter calidos, aut frigidos, neque mordaces, neq; putredini obnoxios, neque ueneni naturæ affines. Nam ubi aucti fuerint, generãt morbos. Augẽtur uerò nonnunquàm eadem ex causa quæ eos ab̄ initio generauit. Illud autem plerunq; accidit, ut sua alteratione inficiãt eos, qui sunt in corpore humores. Intentio uerò, & horum sanationis duplex existit alteratio, atque euacuatio. Alterãtur igitur, uel ab ipso corpore concocti,

ὑπό τινων φαρμακωδῶν δυναμέων, ἐν αἷς εἰσὶ καὶ αἱ θεραπεύουσαι τοὺς τῶν ἰοβόλων ὀνομαζομένων ζώων, ἔτι τε τὰ δηλητήρια φάρμακα μεταβάλλουσαι. κενοῦνται δὲ ὑπὸ τῶν θερμῶν ἱκανῶς φαρμάκων, καὶ καθάρσεων, καὶ κλυστήρων, καὶ ἱδρώτων, καὶ ἐμέτων. αὗται μὲν αὖται αἱ κοιναὶ κενώσεις. ἴδιαι δὲ ἐκ τῶν τόπων ἐν οἷς ἀθροιζῶσι λαμβάνονται, καθάπερ ἐν τοῖς ὑγιεινοῖς δεδήλωται, κατὰ τὸ τρίτον καὶ τέταρτον μάλιστα περί τε κόπων ἡμῶν διεξιόντων ὅσαι τε ἄλλαι παράκεινται

cōcocti, aut ab aliquibus alijs facultatib. quæ uim medicatiuā habēt: è quorum numero etiam sunt ea quæ exitialium ferarum uenenis aduersantur, ac præterea pharmaca quæ uenena appellantur transmutant. Euacuātur aūt satis calidis medicaminibus, & purgationbus, & clysteribus, & sudoribus, & uomitibus. Hæ quidē igitur sunt cōmunes euacuationes. Propriæ aūt ex locis in quib. coaceruātur, aſſumūtur, ut in libris de salubrib. oſtendimus: tertio præſertim, ac quarto in quibus de laßitudinibus egimus, ac reliquis diſpoſitionibus quæ laßitudini natura



BIU Santé

©BIU Santé



τοῖς τόποις διαβέβηκε. ἐκκενοῦνται γὰρ ἑτοιμότερον, οἱ μὲν ἐν ταῖς πρώταις φλεψὶ, διὰ γαστρός. οἱ δ' ἐν ταῖς μεθ' ἧπαρ, δι' οὔρων. οἱ δὲ καθ' ὅλην τὴν ἕξιν, δι' ἱδρώτων. ὥσπερ γε καὶ οἱ κατὰ τὴν κεφαλὴν, ἤτοι δι' ὑπερῴας, ἢ διὰ ῥινῶν, ἢ δι' ἀμφοτέρων. οἱ δ' ἐν ταῖς τοῦ θώρακος εὐρυχωρίαις, διὰ φάρυγγος ἅμα τῇ βηχός. οἱ δὲ κατὰ νεφροὺς ἢ κύστιν, δι' οὔρων. ἀντίσπασις δὲ κοινὴ πρὸς ἁπάντων τῶν μερῶν, ἔνδειξις ἐπὶ τὰ πορρωτάτω, παροχέτευσις δὲ ἐπὶ τὰ πλησίον. ἅπαντα δ' οὖν

ὅσα

proximæ sunt. Prõptius enim euacuãtur per uentrẽ, quæcunq; in primis uenis cõtinentur superfluitates, quæ autẽ in his quæ in hepate sunt, per urinæ meatus: at quæ in toto corpore, per sudorem: sicuti quæ in capite, uel per palatum, uel per nares, uel per utrũque: quæ uerò sunt in spatijs pectoris laxioribus, per guttur simul cũ tußi; quæ in renib. sunt, uel uesica, per urinam. At trahendi ex omni loco ad oppositas partes communis indicatio est, ad quam maximè distantia: deriuatio uerò ad uicina. Quæcunque uerò

huiuscemodi

©BIU Santé



ὅσα θεραπεύει τὰς καὶ αὐτὰς διαθέσεις, ὑγιεινὰ προσαγορεύομεν αἴτια, καθάπερ νοσερὰ, τὰ προσαυξόντα. καὶ οὐδέτερα, τὰ μήτε βλάπτοντα, μήτε ὠφελοῦντα. δύναιτο δ᾽ ἄν τις αὐτὰ, μητ᾽ αἴτια προσαγορεύειν ὅλως, οἷοίπερ εἰσὶν οἱ πολλοὶ τῶν σοφιστῶν, ἀμελοῦντες μὲν αὐτῶν τῶν πραγμάτων ἐξευρίσκειν τὴν διαφορὰν. ἐν δὲ τοῖς ὀνόμασι τὸ πλεῖστον τοῦ χρόνου διατρίβοντες. εἴρηται δ᾽ ὑπὲρ πλέον ἐν ἑτέροις πρὸς αὐτούς. τὸ μὲν δὴ προφυλακτικὸν τῆς τέχνης τοιόνδε.

Τὸ

huiuscemodi curant dispositionem, causas salubres appellamus: sicuti insalubres eas quæ adaugent: & neutras, quæ neque obsunt, neque iuuāt. Posset uerò quispiā, neq; omnino causas appellare, quēadmodū maior pars sophistarū, qui rerum quidem differentiam inuenire contemnunt: plurimū uerò temporis in nominibus conterunt, contra quos in alijs uberius disseruimus. At pars quidem artis præseruatiua talis est.

Rr 4 DE

©BIU Santé



## DE PARTE ARTIS QVAE CONualescentes reficit, & senibus congruit. Cap. C.

Τὸ δ᾽ ἀναληπτικόν τε καὶ ἀναθρεπτικὸν, περὶ τῶν ἀνακομιζομένων ἐκ νόσου καὶ γερόντων. ὁποία δέ τις ἐστὶ καὶ ἡ τούτων διάθεσις, ὑπό τινων τε μάλιστα αἰτιῶν, εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται, τελεώτατα μὲν ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δεδήλωται. διὰ κεφαλαίων δ᾽ ἂν ῥηθείη καὶ νῦν. ἡ μὲν οὖν διάθεσίς ἐστι τοιάδε. χρηστὸν μὲν, ἀλλ᾽ ὀλίγον τὸ αἷμα, καὶ σὺν αὐτῷ τότε ζωτικὸν ὀνομαζόμενον πνεῦμα, καὶ τὸ ψυχικόν. αὐτὰ δὲ τὰ στερεὰ μόρια, ξη-

Quæ autē reficit, atque restaurat, in conualescētibus, ac senibus locum habet. Quæ uerò sit horum dispositio, & à quibus præcipuè causis, ad naturalem reducitur habitum, in libris in quibus de medēdi arte tractauimus, abunde explicauimus, sed nunc per capita dicetur. Dispositio quidem igitur talis est, optimus quidem, sed exiguus est sanguis, atque unà cum ipso spiritus animalis, atque uitalis. Ipsæ uerò particulæ solidæ sic-

ET ρότερα

BIU Santé



ρότερα, καὶ διὰ τοῦτο
καὶ αἱ δυνάμεις αὐ-
τῶν ἀῤῥωστότεραι, καὶ
διὰ ταύτας ὅλον τὸ
σῶμα ψυχρότερον. αἴ-
τια δ᾽ ὑγιεινὰ, τὰ τὴν
εἰρημένην ἐπανορθοῦμε-
να διάθεσιν, ἐν ἑνὶ κε-
φαλαίῳ περιλαβεῖν
ὅσα ταχεῖαν μὲν καὶ
ἀσφαλῆ θρέψιν ἐργά-
ζεται. κατὰ μέρος δὲ
συμμέτροις κινήσεσι,
καὶ σιτίοις καὶ πόμα-
σι καὶ ὕπνοις. εἰσὶ δὲ
ὕλαι τῶν μὲν κινήσεων
αἱ αἰῶραι, περίπατοι
καὶ τρίψεις, καὶ λουτρά.
καὶ εἰ πολὺ βελτίους
ὑπὸ τούτοις γίνοιντο,
καὶ τῶν συνήθων ἔργων
ἐπ᾽ ὀλίγον ἁπτέσθω-
σαν. τῶν δὲ σιτίων κατ᾽
ἀρχὰς



ciores, et idcirco corũ ui-
res sunt imbecilliores,
atq; earundem ratione
corpus uniuersum frigi-
dius. Causæ uerò salu-
bres quæ hanc emẽdant
dispositionẽ, ut uno com-
prehendam capite, sunt
quæcunq; præsentaneũ,
atq; securũ exhibent ali-
mentũ. Secundũ partem
autem in motibus mode-
ratis, et cibis, potibusq;,
ac somnis consistunt.
Sunt uerò motus mate-
riæ, uehicula, ambulatio-
nes, frictiões et balneæ:
& ubi non parum se ex
his pceßisse senserint,
paulatim se ad consue-
ta opera transferant.
Cibos autem assumant,

ἀρχὰς μὲν ὑγραὶ καὶ εὔπεπτοι καὶ μὴ ψυχραί, προϊόντων δὲ, καὶ τροφιμώτεραι. πόμα δὲ ἐπιτήδειον, οἶνος ἡλικίᾳ μὲν σύμμετρος, ἰδέᾳ δὲ καθαρός τε καὶ διαυγής, ἤτοι λευκὸς ἢ ὑπόξανθος, ὀσμὴν ἡδύς, μετρίως ἐν τῷ γεύεσθαι, μηθ' ὑδατώδης τὸ πᾶν, μήτέ τινα σφοδρὰν ἐνδεικνύμενος ποιότητα μήτ' οὖν γλυκύτητα, μήτε δριμύτητα, μήτε πικρότητα. λέγεται δὲ ὡς ἀρτίως εἶπον, ἐν τοῖς θεραπευτικοῖς ἐπὶ πλεῖον ὑπὲρ αὐτῶν. νυνὶ γὰρ οὐ διελθεῖν ἅπαντα τὰ κατὰ μέρος

in principio quidē humidos, & cōcoqui faciles, neq; frigidos, ac cū progressi fuerint, eos etiam qui plurimū præstāt alimentum. Potus uerò opportunus est uinū, ætatē quidē habēs mediocrē, in substantia autē purū, atq; perlucidū: quod scilicet, uel subflauum, uel subalbum existat, atque suauiter olens, gustui uerò, neq; aqueū omnino, neq; cum aliqua insigni qualitate, aut dulcedine, aut acritudine, aut amaritudine sentiatur. Vt autem proximè diximus, de hisce omnib. in libris de arte curādi cōscriptis, plenius disseruimus. Nūc enim neq; omnia particulatim recensere

est

©BIU Santé



ἡμῖν πρόκειται. μόνον
δὲ ἀναμνῆσαι τῶν κεφα
λαίων, ὧν ἐν ἑταίραις
πραγματείαις ἐποιη
σάμεθα τὴν διέξοδον,
ἃς προσγράψας ὁπό-
σαι τέ εἰσι καὶ ποῖαι,
καταπαύσω τὸν λόγον
ἐνταῦτα. κατάλογος
εἴρηται μὲν οὖν καὶ πρό-
σθεν ὡς ἔστιν ἐν ἄλλο βι
βλίον, ἐν ᾧ περὶ συστά
σεως τῆς ἰατρικῆς τέχ-
νης διερχόμεθα. προη
γεῖται δὲ αὐτοῦ τὰ πρό
τερα δύο περὶ τεχνῶν
συστάσεως. ἀλλὰ ταῦ-
τα μὲν ἅμα τῷ νῦν
προσατεθέντι χωρὶς τῶν
κατὰ διέξοδον τῶν
πραγματειῶν. ἐκεῖ-
ναι δὲ τήνδε τὴν τάξιν
ἔχουσι. περὶ μὲν οὖν τῶν
καθ

*est nostri propositi insti
tutū, sed solum capitum
mentionē facere intēdi
mus, eorum quæ in alijs
uoluminib. latius expli-
cauimus. Quorū omniū
si prius & numerū &
qualitatem exposuero,
finem libro imponā. Di
ximus itaq; prius quòd
alter est liber, in quo de
constitutione artis me-
dicinæ disseruimus: an-
tecedunt aūt eū alij duo
de constitutione artiū,
sed hi quidem unà cum
hoc cui nūc extremā ma
nū adiecimus, seorsum
sunt ab alijs libris in qui
bus plenior doctrina ex
plicetur. Illi uerò ta-
lem inter se ordinē ha-
bent. De elemētis quidē
secundum*

©BIU Santé



καθ᾽ Ἱπποκράτην στοιχείων, ἓν βιβλίον ἐστίν, ἑξῆς δ᾽ αὐτῷ τρία περὶ κράσεων. ὧν τὰ μὲν δύο, περὶ τῆς ἐν τοῖς ζώοις ἐστὶ κράσεων, τὸ τρίτον δ᾽, ὑπὲρ τῶν ἐν τοῖς φαρμάκοις. διὸ καὶ τὴν περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως πραγματείαν, οὐχ οἷόν τε κατανοῆσαι καλῶς. ἄνευ τοῦ τὸ τρίτον ἀκριβῶς ἀναγνῶναι περὶ κράσεων. ἔστι δὲ καὶ ἄλλο βιβλίον μικρὸν ἑπόμενον τοῖς πρώτοις δύο περὶ κράσεων, τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας ἐπιγραφόμενον, ὁμοίως δ᾽ αὐτῷ καὶ ἄλλα δύο μικρά.

τὸ μὲν

secũdum Hippocratem liber unus. Post hũc autem tres de temperaturis, ex quibus quidẽ duo sunt de tẽperaturis animalium, tertius uerò de his quæ simpliciũ medicaminũ sunt. Quam ob rem et tractatum illum, in quo de simpliciũ medicaminũ potestatibus agitur, nemo rectè intelligentia assequi potest, nisi prius tertij libri de temperaturis integram cognitionem fuerit adeptus. Est & alius liber paruus, q ordine sequitur duos priores alios de tẽperaturis, inscribitur aũt de inæquali temperatura. Similiter autem & hũc alij duo par-

ui.

©BIU Santé



τὸ μὲν περὶ τῆς ἀρί-
στης κατασκευῆς τοῦ
σώματος, τὸ δὲ περὶ
εὐεξίας. τρίβιβλος δ᾽
ἄλλη πραγματεία ἡ
περὶ φυσικῶν δυνά-
μεων ἐστίν. ἣν εἴτε μετὰ
δύο περὶ κράσεων, εἴ-
τε μετὰ τὸ περὶ στοιχείων
ἀναγινώσκειν τις ἐθέ-
λοι, δύναιτ᾽ ἂν ἕπε-
σθαι. μετὰ δὲ ταῦτα
ἐν πλείοσι πραγμα-
τείαις ὑπὲρ τῶν ψυχι-
κῶν ἐνεργειῶν διέξει-
μεν. ἐπεὶ δὲ εἰς τὰς
ἀποδείξεις αὐτῶν οὐ
σμικρὸν ὄφελος ἐστὶ
τὰ διὰ τῶν ἀνατομῶν
φαινόμενα, πρώταις
ἐκείναις ἐγγυμνάσα-
σθαι προσήκει. ἔστι
δὲ χρησιμωτάτη μὲν
αὐτῶν

ui, alter equidẽ de optima corporis constitutione, alter de bono habitu. Alius uerò tractatus est qui tres cõplectitur libros de potentijs naturalibus: quem si quis legere uelit, post librũ de temperaturis, siue post librũ de elemẽtis, utrunque erit consentaneum. Post hũc in plurib. alijs libris de operationibus animalib. disseruimus, sed quoniam ad earum demonstrationes nõ parum conferunt quæ per sectiones ostendũtur, in illis exercitari oportet. Est autẽ maximè inter alios

©BIU Santé



αὐτῶν, ἡ τῶν ἀνατομι-
κῶν ἐγχειρήσεων. ἄλ-
λαι δέ τινες ἐπ' αὐ-
ταῖς πλείους, ἐν δυοῖν
μὲν περὶ ἀνατομικῆς
διαφωνίας, ἐν ἑνὶ δὲ πε-
ρὶ τῆς τῶν τεθνεώτων ἀνα-
τομῆς, οἷς ἐφεξῆς δύο
περὶ τῆς ἐπὶ τῶν ζώντων.
ἐν ἄλλοις δέ τισι κατὰ
μέρος τοῖς εἰσαγομέ-
νοις ἐποιησάμεθα τὰ
περὶ ὀστῶν, καὶ ἡ τῶν
μυῶν ἀνατομὴ, καὶ ἡ τῶν
νεύρων, ἔτι ἡ τῶν ἀρτηρι-
ῶν καὶ φλεβῶν. καί τι-
να τοιαῦτα ἕτερα τῶν
τοιούτων ἐστὶ, καὶ εἰ κα-
τὰ φύσιν τὸ ἐν ἀρτη-
ρίαις αἷμα. τὰ δὲ τὰς
ἐνεργείας αὐτῶν ἀπο-
δεικνύντα, δύο μὲν



alios utilis ille tractatus
qui de sectionũ aggressi
bus inscribitur. Alij aũt
sunt post eũ plures, duo
quidẽ de discordia se-
ctionis, unus uerò de se-
ctione mortuorum: post
quos sequũtur hi in qui
bus agitur de sectiõe ui
uorũ. in alijs uerò qui-
busdã particulatim ob
eos scripsimus qui intro
ducuntur de ossibus: se-
ctio quoq; musculorũ, et
neruorũ, & arteriarũ,
& uenarũ, & quædam
alia huiusmodi ex codẽ
numero existunt, & li-
ber etiam in quo quæri-
tur, nunquid in arterijs
cõtinetur, sanguis natu
raliter. Qui uerò earun
dem partiũ operationes demonstrãt, duo quidem
sunt

©BIU Santé



εἰσὶ περὶ μυῶν κινήσεων, τρία δὲ περὶ θώρακος καὶ πνεύμονος κινήσεως, οἷς ἐφεξῆς ὑπὲρ τῶν τῆς ἀναπνοῆς αἰτίων, οἷς ἕπεται τὰ περὶ φωνῆς. ὑπὲρ ἡγεμονικοῦ δὲ καὶ τῶν ἄλλων ἁπάντων, ὅσα περὶ φυσικῶν ἢ ψυχικῶν ἐνεργειῶν ζητεῖται, διὰ πολυβίβλου πραγματείας ἐδηλώσαμεν, ἣν περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπιγράφομεν. ἐκ τούτου τοῦ γένους ἐστὶ τῆς θεωρίας, καὶ τὰ περὶ σπέρματος ἴδια γεγραμμένα, ἔτι προσέτι τῆς Ἱπποκράτους ἀνατομῆς, οἷς ἅπασιν περὶ χρείας μορίων

*sunt de motu musculorum: tres autē de pectoris, & pulmonis motu: post quos sequitur liber de causis respirationis, post hunc liber de uoce. De principatu autē animæ, et de omnibus alijs quæ de naturalibus, uel animalibus operationibus in quæstionem trahūtur, in longo uolumine scripsimus, qui de dogmatibus Socratis, & Platonis inscribitur. Ad eiusdē generis contēplationē pertinet liber, de semine seorsum cōscriptus, et amplius de sectione secūdum Hippocr. quos oēs ordine sequitur tractatio de utilitate partium.*

μορίων ἕπεται πραγματεία. εἰς δὲ τὰς διαγνώσεις τῶν νοσημάτων, ἥτε περὶ πεπονθότων τόπων, καὶ ἡ περὶ σφυγμῶν πραγματεία χρήσιμος ὑπάρχει, καθ' ἣν καὶ τὰς προγνώσεις διδάσκομεν. ἡγεῖται δὲ τῆς περὶ σφυγμῶν δύο βιβλία, τὸ περὶ χρείας ἀναπνοῆς, καὶ τὸ περὶ χρείας σφυγμῶν. αὕτη δὲ ἡ περὶ τῶν σφυγμῶν, εἰς τέτταρα μέρη νενέμηται. πρῶτον μὲν, τὸ τῆς διαφορᾶς αὐτῶν, δεύτερον δὲ τὸ τῆς διαγνώσεως, καὶ τρίτον, τὸ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, καὶ τέταρτον, περὶ τῆς

partiũ. Ad dignoscẽdas autẽ ægritudines, utilis est liber in quo de membrorum paßionibus agitur: itidem et ille in quo de pulsibus scribitur, in quo & præcognitiones edocemus. Librum uerò de pulsib. præcedũt alij duo, alter qui de usu respirationis, & qui de usu pulsuum. Is uerò de pulsibus in quatuor diuiditur partes, primã quæ corũ differentias, secundã quæ dignotiones, tertiam quæ corum causas, quartã quæ illã

qua

δια

BIU Santé



διὰ τῶν σφυγμῶν προγνώσεως. ἐκ τούτου τοῦ γένους ἐστὶ, καὶ τὸ τοῖς εἰσαγομένοις περὶ σφυγμῶν γεγραμμένον. ἐννοῶ δὲ καὶ ἄλλό τι ποιῆσαι βιβλίον ἓν, οἷον ἐπιτομὴν ἁπάντων, ὅπερ ἤτοι τέχνην περὶ σφυγμῶν, ἢ ἐπιτομὴν ἐπιγράψω. χρήσιμα δὲ εἰς τὴν τοιαύτην θεωρίαν ἐστὶ καὶ δι' ὧν ἐξηγοῦμαί τε ἅμα καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον. εἰς δὲ τὰς προγνώσεις, χρησιμωτάτη μάλιστα ἐστὶν ἡ περὶ κρίσεων πραγματεία. προηγεῖται δ' αὐτῆς ἡ περὶ τῶν κρισίμων.

ἀλλὰ

quæ per eoſdem fit, continet præcognitionem. Ex eodē genere eſt ille qui his qui introducuntur, de pulſibus ſcriptus eſt. At uerò in animo eſt alium ſcribere librum, ueluti quoddam omnium iſtorum compendium, quem inſcribam, uel artem de pulſibus, uel compendium. Ad hanc quoque iuuant contemplationē, quæ à me exponuntur, & ſimul iudicantur in libro Archigenis de pulſibus. Ad præcognitionem aūt plurimū cōfert liber de criſibus, id eſt, decretis naturæ, quē præcedit alter de decretorijs diebus.

Ss Sed

Hippocratis (...) Aphorismorum lib. VIII. Ejusdem Praesagiorum lib. III. Item ... - page 659 sur 669

©BIU Santé



ἀλλὰ καὶ ἡ περὶ δυσπνοίας πρὸς διάγνωσίν τε τῆς παρούσης διαθέσεως καὶ πρόγνωσιν τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν περὶ τὸν κάμνοντα, χρήσιμος ὑπάρχει. ταῦτά τε οὖν ἅπαντα, καὶ σὺν αὐτοῖς ἔνια μονόβιβλα δεῖ γινώσκεσθαι χρήσιμα, καθάπερ τὸ περὶ τῶν προκαταρκτικῶν αἰτίων, καὶ τὸ περὶ τῆς ἰατρικῆς ἐμπειρίας, καὶ τὸ περὶ τῆς λεπτυνούσης διαίτης, ἔτι τε τὸ περὶ τῆς φλεβοτομίας πρὸς Ἐρασίστρατον, καὶ τὸ περὶ τῶν παρὰ φύσιν ὄγκων. ὡσαύτως δὲ καὶ τὸ περὶ πλήθους, ἕτερά τε τινὰ τοιαῦτα.

πάντων

*Sed liber etiam qui de difficili anhelitu inscribitur, & ad dignoscendum præsentē affectū, & ad præsciēda bona, uel mala quæ ægrotanti sunt euentura, cōducit. Hi igitur omnes, atque unà cum ipsis tractatus quidam uno tantū libro cōprehensi cognitu utiles sunt, sicuti illis q de præcipientib. causis inscribitur, & de medicinali experiētia, et de extenuāte uictu, & qui de uenarū sectione ad Erasistratū, & qui de tumoribus præter naturā, & qui de multitudine atq; alij præterea similes.*

Præ

πάντων δὲ ἀναγκαιό-
τερα πρὸς τὴν θερα-
πευτικὴν μέθοδόν ἐ-
στιν, τό, τε περὶ τῶν νο-
σημάτων διαφορᾶς,
καὶ τὸ περὶ τῆς τῶν συμ-
πτωμάτων, καὶ τρί-
τον ἐπ' αὐτοῖς, ἐν ᾧ τὰς
αἰτίας τῶν νόσων διέξι-
μεν, ἐφ' οἷς ἄλλα τρία,
ἐν οἷς τὰς ἐπὶ τοῖς συμ-
πτώμασιν αἰτίας ἐξη-
γούμεθα, τά τε περὶ
τῆς τῶν ἁπλῶν φαρ-
μάκων δυνάμεως ἐ-
στὶν, ὧν ἔμπροσθεν ἐμ-
νημόνευσα, καὶ τὰ πε-
ρὶ συνθέσεως φαρμά-
κων, οἷς τὰ τῆς θερα-
πευτικῆς ἕπεται με-
θόδου γεγραμμένης ἡ-
μῖν ἰδίᾳ, καὶ τῆς τῶν
ὑγιεινῶν πραγματείας. ὅτι δὲ καὶ πρὸ ἁπάντων

Præ cæteris autē ad cu-
rādi scientiam maximè
necessarius existit, qui
de morborum differen
tijs agit, & de accidenti
bus, & tertius præter il
los in quo morborū cau
sas explicauimus: post
quos sunt tres alij qui
accidentium causas ex-
planant, sunt etiam de
medicamentorū simpli-
ciū uiribus libri, de qui-
bus suprà meminimus,
& qui de medicamento
rū cōpositione: quos se-
quūtur libri de arte cu-
randi, his qui de salubri
bus inscribuntur, seor-
sum à nobis conscriptis.
Quòd uerò ante hosce
omnes

©BIU Santé



τούτων ἐγγεγυμνάσθαι χρὴ τῇ περὶ τῆς ἀποδείξεως πραγματείᾳ, τὸν μέλλοντα λογικῶς μεταχειρίζεσθαι τὴν τέχνην, ἐν τῷ περὶ τῆς ἀρίστης αἱρέσεως ὑποδέδεικται γράμματι. περὶ δὲ τῶν ἄλλων συγγραμμάτων τε καὶ ὑπομνημάτων ὧν ἐγράψαμεν, οὐκ ἀναγκαῖον ἐστι διέρχεσθαι νῦν, ὑπὲρ ἁπάντων γε μέλλοντας ἐρεῖν ἑτέρωθι, καθ' ἓν ἴσως ἢ δύο βιβλία τὴν ἐπιγραφὴν ἔχοντα, Γαληνοῦ περὶ τῶν ἰδίων βιβλίων.

ΤΕΛΟΣ

*omnes prius exercitari oportear, in libris de demōstratione. Si quis hāc artem cū ratione sit tractaturus, monstratū est à nobis in libro qui de optima inscribitur hæresi. De aliis autē libris, & commētationibus à nobis scriptis, transigere nunc minimè necessariū, cum de hisce omnibus alibi simus tractaturi in uno fortaßis, aut duobus libris qui ita inscribentur, Galenus de uoluminibus ab eo conscriptis.*

FINIS

BIU Santé

BASILEAE PER HENRICHVM
PETRVM, MENSE AV-
GVSTO, ANNO
M. D. XLIII.

©BIU Santé

BIU Santé



©BIU Santé



BIU Sante

©BIU Santé

Kassius. M. B.

Kassé. M. A.

Franciscus
Ammæus
1545. 13
January
Emptus
8 assib.

Noëus.